σημειωτέον ὅτι ἐν τοῖς παρωνυμουμένοις ὅροις ἐξ ὧν ὁ ἕτερος ἐκ τοῦ ἑτέρου παραφέρεται, οἷον ἐστὶ λέων λίθινος, ἄρα ἐστὶ λέων· τὸ γὰρ λέων ἁπλῶς εἰρημένον ἀντὶ τοῦ ἀληθοῦς ὑποτίθεται λέοντος· ἔτι ἀνάπαλιν, ἐστὶ λέων, ἄρα λέων λίθινος. ε΄: ἐπειδὰν ἡ ὀνομασία, καθ᾽ ἣν ὁ ἕτερος τὸν ἕτερον παρονομάζει, δηλοῖ αὐτῷ τῷ ἑαυτοῦ σημαινομένῳ, οἷον ἐπεὶ ὅδε ἦν σοφός, τὸ σοφὸς προσετέθη τὸ αὐτοῦ ἀφηρημένον σημαινόμενον, τῷ ὅδε ἐπεὶ οὐ καὶ παρονομάζεται σοφόν. αὕτη δὲ ἡ ὀνομασία ταὐτόν ἐστι τῇ κατηγορίᾳ· τὸ γὰρ κατηγορούμενον τὸ ὑποκείμενον παρονομάζει:— τέλος τοῦ κεφ: ιϛ:

Περὶ ὁρισμοῦ καὶ τῶν ἀνηκόντων αὐτῷ παρατηρήσεων.

Τῆς α΄ τοῦ νοὸς ἐνεργείας ὄργανον εἶναι τὸν ὁρισμόν, οἱ πλεῖστοι τῶν λογικῶν ἐθέλουσιν, ἅτε δὴ ὅρον συμπεπλεγμένον, ὃς δὴ ὑπὸ τῶν ὅρων τάττεται, ὡς τὸ εἶδος ὑπὸ τὸ οἰκεῖον γένος. ἔστι δὲ ὁρισμὸς κατ᾽ Ἀριστοτέλην· λόγος ὁ τὸ τί ἦν εἶναι σημαίνων, ἢ σαφέστερον εἰπεῖν, λόγος σύντομος δηλωτικὸς τῆς φύσεως τοῦ ὁριστοῦ. τὸ μὲν οὖν λόγος ἐνταῦθα ὡς γένος εἴληπται. ὁμοῦ γὰρ τοῖς ἄλλοις ἐφαρμόττει λόγοις, τὸ δὲ σύντομος, καὶ τὸ δηλωτικὸς τῆς φύσεως τοῦ ὁριστοῦ, συστατικῶν διαφορῶν ἀναπληροῦσι τόπον· διὰ τούτων γὰρ ὁ ὁρισμὸς διαφέρει τῶν ἄλλων λόγων, οἳ δηλωτικοὶ τῆς φύσεως τοῦ ὁριστοῦ εἰσί. διαιρεῖται εἰς α΄ τὸν ὁρισμὸν τοῦ ὀνόματος, καὶ εἰς ὁρισμὸν τοῦ πράγματος. ὁρισμὸς τοῦ ὀνόματος ὃς καὶ ὀνοματώδης, καὶ ἐτυμολογικός, καὶ ἐτυμολογία λέγεται, ἐστὶ λόγος τὴν φύσιν ἀναπτύσσων τοῦ ὀνόματος, οἷον ἡ φιλοσοφία λέγεται φιλία σοφίας, φιλόσοφος ὁ φιλῶν ... ὁρισμὸς δὲ τοῦ πράγματος ἐστὶν, ὁ τὴν τοῦ πράγματος φύσιν δηλῶν, οἷον ἄνθρωπος (τὸν σοφὸν τοῦ- ...) ἐστὶ ζῶον λογικόν. διττῶς δὲ διαιρεῖται εἰς θετικὸν καὶ ἀποφατικόν.

Θετικὸς μὲν ἐστὶν ὁ διὰ θετικῶν κατηγορουμένων ἀποδιδόμενος, οἷον ἄνθρωπος ἐστὶ ζῶον λογικόν. ἀποφατικὸς δέ, ὁ διὰ κατηγορουμένων ἀποφατικῶν ἀποδιδόμενος, οἷον ἡ α΄ ὕλη οὔτε τί, οὔτε ποσόν, ... ὑποδιαιρεῖται ὁ θετικὸς ὁρισμὸς εἰς οὐσιώδη, καὶ ἐπουσιώδη, οἳ καὶ ὑπογραφικοὶ λέγονται. (Τὸ ποιὸν ...) οὐσιώδης ἐστὶν, ὁ ἐκ τῶν ἐνόντων τῷ πράγματι οὐσιωδῶν δηλῶν τοῦτο, οἷον ἄνθρωπος ἐστὶ ζῶον λογικόν, ὅτι ὁ ἄνθρωπος, ὅ ἐστι τὸ ὁριστόν, δηλοῦται ἐκ τῶν ἐνόντων αὐτῷ οὐσιωδῶν, τοῦ ζῴου δηλαδὴ καὶ τοῦ λογικοῦ. ἐπουσιώδης ὁρισμός ἐστιν, ὁ ὑπογράφων τὸ πρᾶγμα, ἢ δι᾽ οὐσιώδους γένους, ἢ καὶ συμβεβηκυίας διαφορᾶς συμβεβηκότων, ἅπερ ὁμοῦ τῷ ὑποκειμένῳ προσόντα, οἷον ἐκ τοῦ α΄: ἄνθρωπος ἐστὶ ζῶον γελαστικόν. τὸ γὰρ γελαστικὸν ἐστὶν ἰδιότης μόνῳ ἐνυπάρχουσα τῷ ἀνθρώπῳ. παράδειγμα τοῦ β΄: ἄνθρωπος ἐστὶ ζῶον δίπουν ἄπτερον. τὸ γὰρ εἶναι δίπουν, πλείοσι ζῴοις συμβέβηκεν, ὁμοίως καὶ τὸ ἄπτερον ἑτέροις, ἀλλὰ συμβαίνει εἶναι δίπουν καὶ ἄπτερον μόνῳ τῷ ἀνθρώπῳ προσόντα.

προ-

Προσέτι ὑποδιαιρεῖται ὁ οὐσιώδης ὁρισμὸς εἰς φυσικὸν καὶ μεταφυσικόν. φυσικὸς μὲν ἐστὶν, ὁ ἐκ τῶν φυσικῶν οὐσιωδῶν τοῦ συνθέτου, ἤτοι ἐξ ὕλης καὶ εἴδους συγκείμενος, οἷον ἄνθρωπος ἐστὶ σῶμα ὀργανικὸν λογικῇ ψυχῇ ζωοποιούμενον, μεταφυσικὸς δὲ ὁ ἐκ τῶν οὐσιωδῶν μεταφυσικῶν, γένους δηλαδὴ καὶ διαφορᾶς συγκείμενος, οἷον ἄνθρωπος ἐστὶ ζῶον λογικόν, μέρη δὲ μεταφυσικὰ λέγονται, τὰ μὴ χωριζόμενα δήπου ἀλλήλων πραγματικῶς, ἐννοούμενα μέντοι ὑπὸ τοῦ ἡμετέρου νοός, ὡς ἀληθῶς εἶναι διῃρημένα, καὶ συναπτόμενα ἀλλήλοις εἰς σύστασιν τοῦ ὅλου, ὧν τὸ μὲν γένος, τὸ δὲ διαφορὰ λέγεται. τέταρτον δεῖ εἰδέναι (φησὶ Κορυδαλεύς) ὅτι λαμβάνονται οἱ ὁρισμοί, ἢ ἐξ ὑποκειμένου τοῦ ὁριζομένου, ἢ ἐκ τοῦ τέλους, ἢ καὶ ἐξ ἀμφοῖν, ὑποκείμενον μὲν ἐστί, περὶ ὃ τὸ ὁριστὸν καταγίνεται. τέλος δέ, ὃ προχάζεται, καὶ ὃ βούλεται ποιεῖν, ἐκ τοῦ ὑποκειμένου ὡς ἰατρική ἐστι τέχνη περὶ τὰ ἀνθρώπεια σώματα καταγινομένη. ὑπόκειται γὰρ ταύτῃ τὰ ἀνθρώπεια σώματα. ἀπὸ δὲ τοῦ τέλους οὕτως, ἰατρική ἐστιν ὑγιείας ποιητική. ἔργον γὰρ ταύτης φυλάξαι τὴν παροῦσαν, ἢ ἀποῦσαν ἀνακαλέσασθαι. ἐξ ἀμφοῖν δέ, ὡς εἴ τις εἴποι, ἰατρική ἐστι τέχνη περὶ τὰ ἀνθρώπεια σώματα, καὶ ποιητικὴ ὑγιείας. ἔστι δὲ καὶ αἰτιώδης ὁρισμός, ὃς ἐστι δηλωτικὸς τῆς αἰτίας τοῦ ὁριζομένου πράγματος, οἷον ἡ ἔκλειψις ἐστὶ παρεμπτώσις τῆς γῆς μεταξὺ ἡλίου καὶ σελήνης, καὶ ἡ βροντὴ ψόφος πυρὸς ἐν νέφει· διαφέρει μέντοι τοῦ οὐσιώδους καὶ ἐπουσιώδους· ὁ γὰρ ἐξ ἐνδομένων ἀποδίδοται αἰτιῶν, ὕλης δηλαδὴ καὶ εἴδους, ὑπὸ τὸν οὐσιώδη ἀνάγεται, ὁ δὲ ἐξ ἐξωτερικῶν, ποιητικῆς δηλονότι καὶ τελικῆς, ὑπὸ τὸν ἐπουσιώδη. ἵνα δὲ ὁ ὁρισμὸς ἐντελὴς ᾖ, ἀπαιτεῖται α΄: ἀποδίδοσθαι διὰ πλειόνων ὅρων. ὁ γὰρ ὁρισμός ἐστι λόγος, ὡς εἴρηται, ὁ δὲ λόγος ὡς κατωτέρω λεχθήσεται, ἐκ δύο συνίσταται τοὐλάχιστον ὅρων. β΄: τῶν ἐν τῷ ὁρισμῷ περιλαμβανομένων ὅρων, τὸ μὲν εἶναι δεῖ κοινὸν τῷ τε ὁριζομένῳ, καὶ ἄλλοις, ὃ καὶ γένος ἤκουσε· τὸ δ᾽ ἰδιάζοντα, συστατικὸν, καὶ διαιρετικὸν τοῦ ὁριστοῦ ἀπὸ τῶν ἄλλων, ὃ καὶ διαφορὰ λέγεται, οἷον ἄνθρωπος ἐστὶ ζῶον λογικόν, τὸ μὲν ζῶον γένος, τὸ δὲ λογικὸν, διαφορὰ ἐστί. σημειωτέον δὲ, ὅτι ὁ ὁρισμὸς, ἀποδίδοται μὲν καὶ διὰ ἀπωτέρου καὶ ἐγγυτέρου γένους, οἷον εἴ τις ὁρίσαιτο τὸν ἄνθρωπον, εἶναι σῶμα λογικόν, βέλτιον μέντοι αὐτὸν ἀποδοῦναι διὰ προσεχοῦς καὶ ἐγγυτάτου γένους, ὁποῖον ἐστὶ τὸ ζῶον πρὸς τὸν ἄνθρωπον. γ΄: τὸ κοινὸν κατηγορούμενον προτίθεσθαι χρὴ τῆς διαφορᾶς. ἀνθ᾽ οὗ λέγομεν ἄνθρωπος ἐστὶ ζῶον λογικόν, οὐχὶ δ᾽ ἄνθρωπος ἐστὶ λογικὸν ζῶον. αἴτιον δὲ, ὅτι τὸ μᾶλλον καθόλου κατηγορούμενον, δεῖ προϋποτίθεσθαι τῶν ἧττον καθόλου, καὶ μάλιστα τῶν τῆς οὐσίας συστατικῶν, ἀδιάφορον ὂν αὐτὸ διορισθὲν ὑπ᾽ αὐτοῦ, καὶ ὅτι τὸ γένος,

ὕλης

ὕλης τόπον ἐπέχει· ἔσθ' ὅτε δὲ ἡ διαφορά. δ΄ον· τὸν ὁρισμὸν εἶναι σαφέστερον, καὶ μᾶλλον γνω-
ριμώτερον τοῦ ὁριστοῦ· εἰ γὰρ ἂν ἄγνωστος, οὐκ ἂν δύναιτο δηλῶσαι τὸ πρᾶγμα· ὅθεν κατὰ ὁ ὁρισμός ἐστι
δηλωτικὸς τοῦ ὁριζομένου· διὰ τῶν σαφεστέρων πάντως ἀποδοτέον, καὶ τῶν καθ' αὑτὸ λεγομένων
καὶ συνωνύμων, ἀλλὰ μὴ διὰ τῶν κατὰ μεταφορὰν λεγομένων, ἢ ὁμωνύμως σημαντικῶν, καὶ ἀμ-
φιβόλων. ε΄ον· ἀντιστρέφειν τὸν ὁρισμὸν πρὸς τὸ ὁριστόν, οἷον ὁ ὁρισμὸς τοῦ ἀνθρώπου ἐστὶ ζῶον λο-
γικόν· ὀφείλει ἀντιφέρεσθαι, ἤτοι ἄνθρωπος, ἄρα ζῶον λογικόν· ἔτι ζῶον λογικὸν ἄρα καὶ ἄνθρωπος.
ϛ΄ον· μὴ πλεονάζειν, μήτ' ἐλλείπειν ταῖς λέξεσι· διὰ γὰρ πλεονασμοῦ καὶ ἐλλείψεως, γίνεται
τὸ μὴ ἀντιστρέφειν· καὶ ἡ μὲν προσθήκη ἔλλειψιν τῶν πραγμάτων ἐργάζεται, ἡ δ' ἀφαίρεσις πλεο-
νασμόν, καὶ οὕτως ἀμφοτέρωθεν ἀτελὴς ὁ ὁρισμὸς γίνεται· οἷον εἴ τις εἴποι, πλεονάσας, ἄν-
θρωπος ἐστὶ ζῶον λογικὸν θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν, γεωμετρικόν· ἔλλειψιν τῶν
πραγμάτων ἐποίησεν· τοὺς πάντας γὰρ ἀνθρώπους τῷ ὁρισμῷ συμπεριέλαβεν, ἀλλὰ μόνους τοὺς
γεωμετρικούς· εἰ δὲ πάλιν ἐλλείπῃ ταῖς λέξεσιν εἴπῃ, ἄνθρωπος ἐστὶ ζῶον λογικὸν θνητόν, ἐπλε-
όνασεν· συμπεριέλαβε γὰρ τοῖς ἀνθρώποις κατὰ τὸν ἑλληνικὸν μῦθον, καὶ τὰς μακραίωνας νύμ-
φας. ζ΄ον· τὸν ὁρισμὸν εἶναι βραχὺν καθ' ὅσον ἐγχωρεῖ ἐστίν, δεῖ μέντοι τῆς σαφηνείας φυλαττομέ-
νης, ταύτης ἕνεκα τῆς βραχύτητος, ὁ ἄνθρωπος ὁρίζεται ζῶον λογικόν, δυνάμενος ὁρίζεσθαι,
ὅτι ἐστὶν οὐσία ἔμψυχος σωματικὴ αἰσθητικὴ λογική, ὁ δ' ἐστὶ δηλονότι ὁ ὁρισμός ἐστιν ἐκ
τῶν κυριωτάτων περὶ ταῖς ἐπιστήμαις ὀργάνων, δι' αὐτοῦ γὰρ τὴν φύσιν εὑρίσκεται τῶν ὄντων ἀ-
κριβῶς ἰχνηλατοῦμεν :~ κεφ. ιγ΄ον

περὶ διαιρέσεως καὶ τῶν ἀνηκόντων αὐτῇ παραγγελμάτων.

ἡ διαίρεσις ἐστὶ διανομὴ τοῦ ἔχοντος μέρη εἰς αὐτὰ ταῦτα, οἷον ὁ ἄνθρωπος διαιρεῖται εἰς ψυχὴν καὶ
σῶμα. τρία τοιγαροῦν εὑρίσκονται ἐν πάσῃ διαιρέσει, τὸ διαιρούμενον, ἡ
διαίρεσις, καὶ τὰ διαιροῦντα μέρη· διαιρούμενον ἐστὶ τὸ ὅλον, ὃ διαιρεῖται, οἷον ὁ ἄνθρωπος· δι-
αιροῦντα μέρη εἰσίν, αὐτὰ τὰ μόρια εἰς ἃ ἡ διαίρεσις ἀποτερματίζεται, οἷον ἡ ψυχὴ καὶ τὸ
σῶμα· διαίρεσις δὲ ἡ διανομὴ τοῦ ὅλου· διχῶς οὖν ἡ διαίρεσις θεωρεῖται, καθ' αὑτὸ καὶ κατὰ
συμβεβηκός, καὶ τῆς μὲν καθ' αὑτὸ διαιρέσεως τρία εἰσὶ τὰ γένη, ὧν α΄ον ἐστὶ τὸ τοῦ γένους εἰς εἴδη. β΄ον
τὸ τοῦ ὅλου εἰς μέρη. καὶ γ΄ον τὸ τῆς φωνῆς εἰς διάφορα σημαινόμενα· διαιρεῖται τοίνυν τὸ γένος
εἰς εἴδη, ὡς ὅταν εἴπωμεν, τοῦ ζῴου τὸ μὲν ἐστὶ χερσαῖον, τὸ δὲ ἔνυδρον, τὸ δὲ πτηνόν· ἢ
τὸ ζῶον διαιρεῖται εἰς λογικὸν καὶ ἄλογον· τὸ δὲ ὅλον διαιρεῖται διχῶς, ἢ εἰς μέρη οὐσιώδη, ἤ-
τοι οὐσιωδῶς, ἢ εἰς μέρη ποσοτικά, ἤτοι κατὰ ποσότητα. οὐσιωδῶς μέν, ὡς ὅταν εἴπωμεν, τοῦ ἀνθρώπου
τὸ μὲν ἐστὶ σῶμα, τὸ δὲ ψυχή, ἢ τὸ μὲν ἐστὶ ζῶον, τὸ δὲ λογικόν· κατὰ ποσότητα δ' αὖθις διαιρεῖται
διχῶς, ἢ εἰς μέρη ὁμοιομερῆ, ἢ εἰς ἀνομοιομερῆ· εἰς μέρη ὁμοιομερῆ διαιρεῖται τὸ ὅλον, ὡς ὅ-
ταν ἡ σὰρξ διαιρεῖται εἰς πλεῖστα μέρη σαρκός, καὶ τὸ ὕδωρ εἰς μέρη ὕδατος, ἅπερ κοινωνοῦσι τοῦ τε
ὀνόματος καὶ τοῦ ὁρισμοῦ, τῷ τε ὅλῳ καὶ ἀλλήλοις, οἷον τοῦ ὕδατος πᾶν μέρος ἐστὶν ὕδωρ· εἰς ἀνο-
μοιομερῆ ὡς ἐπὶ τῶν ὀργανικῶν σωμάτων· οἷον ὁ ἄνθρωπος διαιρεῖται εἰς κεφαλήν, χεῖρας, καὶ πόδας, καὶ
τὰ τοιαῦτα, ὧν ἕκαστον οὔτε τοῦ ὀνόματος, οὔτε τοῦ λόγου μετέχει τῷ ὅλῳ σώματι, καὶ ἀλλήλοις· ταῦτα
δὲ τὰ γένη τῆς διαιρέσεως, τὸ τοῦ γένους διαιρεῖσθαι εἰς εἴδη, καὶ τὸ τοῦ ὅλου εἰς μέρη, ὡς πράγματα διαιρεῖ-
ται, ἡ δὲ φωνὴ διαιρεῖται εἰς διάφορα σημαινόμενα, οὐχ ὡς πρᾶγμα, ἀλλ' ὡς φωνὴ κατά τινων
λεγομένη, καθὸ καὶ ἀντιδιαστέλλεται τῶν ἀνωτέρω δύο γενῶν· τριχῶς δ' αὕτη ἐστὶ τοῦ παρόν-
τος διαιρεῖται· ἢ γὰρ εἰς τὰ ὁμώνυμα σημαινόμενα, ἢ εἰς τὰ συνώνυμα, ἢ εἰς τὰ παρώνυμα λε-
γόμενα διαιρεῖται. παράδειγμα τοῦ α΄ου· κύων ἡ φωνὴ αὕτη, ἥτις λέγεται αὐτὴ τοῦ χερσαίου κυ-
νός, καὶ τοῦ θαλαττίου, καὶ τοῦ ἀστρῴου, ὧν ἑνὸς ὄντος τοῦ ὀνόματος, διάφοροι εἰσὶν αἱ οὐσίαι· ἑ-
τέρα γὰρ οὐσία κυνὸς χερσαίου, καὶ ἑτέρα ἀστρῴου, καὶ ἑτέρα θαλαττίου. τοῦ β΄ου· κύων τὸ ζῶον, ὅπερ
διαιρεῖται εἰς ἵππον, βοῦν, ἄνθρωπον, ὧν κοινὸν ἐστὶ τό τε ὄνομα καὶ ἡ οὐσία· πάντα γὰρ ζῷα, καὶ
τὸν τοῦ ζῴου ὁρισμὸν ἐπιδέχονται. τοῦ γ΄ου παράδειγμα, ὁ ἰατρὸς ἀπὸ τῆς ἰατρικῆς, ὁ γεωμετρικὸς
ἀπὸ τῆς γεωμετρικῆς, ταῦτα δὲ κατὰ μετοχήν τινα φωνῆς, καὶ τοῦ εἴδους, ἀφ' οὗ παρωνομάζεται λέ-
γονται. ἡ δὲ κατὰ συμβεβηκὸς διαίρεσις τριχῇ μάλιστα θεωρεῖται· ἢ γὰρ ἀπὸ οὐσίας εἰς συμβεβη-
κότα γίνεται, ἢ ἀπὸ συμβεβηκότος εἰς οὐσίας, ἢ ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα, καὶ ἀπὸ μὲν
οὐσίας εἰς συμβεβηκότα ἡ διαίρεσις γίνεται ὡς ὅταν εἴπωμεν, τοῦ σώματος, τὸ μὲν ἐστὶ λευκόν, τὸ δὲ
μέλαν, ἀπὸ δὲ συμβεβηκότος εἰς οὐσίας, ἤτοι εἰς ὑποκείμενα, οἷον τοῦ λευκοῦ, τὸ μὲν ἐστὶ χιών, τὸ
δὲ κύκνος, ἢ ψιμύθιον, ἀπὸ δὲ συμβεβηκότος εἰς συμβεβηκότα, ὡς ὅταν εἴπωμεν τοῦ χρώμα-
τος, τὸ μὲν ἐστὶ λευκόν, τὸ δὲ μέλαν. τοῦτο δ' οὕτω διῃρημένον, κίνδυνον δοκεῖν ἔσεσθαι φησὶν ὁ Κορυδαλ-
λεύς, ὅτι μόναι αἱ καθ' αὑτὸ διαιρέσεις κυρίως ἂν διαιρέσεις ῥηθεῖεν, αἱ δὲ κατὰ συμβεβηκὸς κα-
ταχρηστικῶς λέγονται· οὐ γὰρ ὅμοιον, κυρίως γίνεσθαι διαίρεσιν ἀπὸ οὐσίας εἰς συμβεβηκό-
τα, καὶ ἀνάπαλιν· ἔτι μὴν ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα· ἡ γὰρ τοιαύτη διαίρεσις ἀπὸ γέ-
νους εἰς εἴδη γίνεται, ὡς ὅταν εἰς λευκὸν καὶ μέλαν διαιρεῖται τὸ χρῶμα, καὶ ἡ ἀρετὴ [illegible] ἡ περὶ τὴν διαί-
ρεσιν, ἣν ἐστι κυρίως διαίρεσις, ὥσπερ καὶ τῶν ὁρισμῶν, εἰς τὰ ὑπ' αὐτὰ ἄτομα, ἀμφοτέρας κατα-

ὑπαρίθμησις μᾶλλον ῥηθείη, ἢ διαίρεσις· τὸ γὰρ διαιρούμενον εἰς ὡρισμένα καὶ ἀριθμητὰ διαιρεῖσθαι
νόημα διαιρεῖσθαι· τὰ δὲ ἄτομα εἰσὶν ἄπειρα, ὥσπερ καὶ τὰ ἀφ' ὧν ἢ περὶ ὧν ἀόριστα, καὶ ἀριθμῷ
ἀπερίληπτα· ἵνα δὲ ὀρθῶς ἔχουσα ἡ διαίρεσις ᾖ, ἀπαιτεῖται α΄ον τὰ μέρη πάντα ἑνούμενα ἐξισοῦ-
σθαι τῷ ὅλῳ, ὥστε μήτε περιττεύειν αὐτοῦ μήτε ἐλλείπειν· ὅθεν χωλεύει οὐκ ὀρθῶς ἡ διαίρεσις τοῦ ζώου,
τὸ μὲν αἰσθητικόν, τὸ δὲ ἄλογον· τὸ γὰρ αἰσθητικὸν συνακτικὸν διαιρεθέν, μεῖζον ὂν τοῦ ζώου,
ὑπερίσης ἐπιλείπει τῷ ζώῳ· ὁμοίως οὐκ ὀρθῶς καὶ αὕτη· τῶν ζώων τὰ μὲν χερσαῖα, τὰ δὲ θαλάττια· ἐλλεί-
πει γὰρ τὰ πτηνά, ἐπεὶ τὰ δύο μόνα οὐκ ἀναπληροῦσι τῷ ζώῳ· β΄ον τὰ διαιρετικὰ μόρια ἀντι-
κεῖσθαι εἰς τὸ αὐτὸ τῆς διαιρέσεως γένος, ὅθεν οὐκ ὀρθῶς, τοῦ ζώου, τὸ μὲν λογικόν, τὸ δὲ μουσικόν· τὸ γὰρ
α΄ον μόριον εἰς τὴν καθ' αὑτό, τὸ δὲ ἕτερον εἰς τὴν κατὰ συμβεβηκὸς διαίρεσιν ἀνήκει· γ΄ον τὰ μέρη
προσεχῆ καὶ ἄμεσα διαιρεῖσθαι, ὅθεν οὐκ ὀρθῶς διαιρεθείη ἡ οὐσία εἰς λογικὸν καὶ ἄλογον· ἀ-
μέσως γὰρ διαιρεῖται εἰς σῶμα καὶ ἀσώματον· δ΄ον τὰ μέρη τῆς διαιρέσεως ἀντικείμενα εἶναι, ὡς θάτε-
ρον μὴ περιέχεσθαι ἐν θατέρῳ, ὅθεν οὐκ ὀρθῶς, τῶν ζώων τὰ μὲν ἑρπετά, τὰ δὲ ἔχιδναι· θάτε-
ρον γὰρ περιέχεται ἐν θατέρῳ· ε΄ον ἵνα τὰ μέρη τῆς διαιρέσεως ὀλίγα ὦσιν, ἅπαντα δέον ἀριθμεῖ-
σθαι, εἰ δ' οὖν πολλά, ἀπέχειν εἰς τὰ δύο ἀντικείμενα ἀριθμηθῶσιν, ὅθεν χεῖρον ἡ ἐπὶ
διαιρεῖ τὸ ζῷον εἰς ἄνθρωπον, βοῦν, ἵππον, λέοντα, ς΄· οὐ γὰρ ἂν μακρὰ ἡ τοιαύτη διαίρε-
σις, ἀλλ' ἄμεινον ἂν διαιρεθῇ εἰς λογικὸν καὶ ἄλογον, ἅτινα εἰσὶν ἀντικείμενα μέρη τῆς διαιρέ-
σεως· καὶ περὶ μὲν τῶν εἰς τὴν α΄ην τοῦ νοὸς ἐνέργειαν ἀνηκόντων ἅλις. ~

Μέρος β΄ον

Περὶ τῶν ἀνηκόντων εἰς τὴν β΄αν τοῦ νοὸς ἐνέργειαν.

Κεφ. α΄ον περὶ ὀνόματος.

Περὶ τῶν εἰς τὴν β΄αν τοῦ νοὸς ἐνέργειαν ἀνηκόντων ῥητέον τὰ νῦν, ταῦτα δέ εἰσιν ἀποφάνσεις· αἳ
ἀπὸ τῶν ἐν προτάσει δύο ὅρων συντίθενται, οἱ δὲ ὅροι ὀνόματα εἰσὶ καὶ ῥήματα· ἀπὸ τοῦ πρώτου ἀρκτέ-
ον· ὄνομα τοίνυν, ὡς ἐν τῷ περὶ ἑρμηνείας ἀποδίδωσιν ὁ Φιλόσοφος, ἐστὶ φωνὴ σημαντικὴ κατὰ συν-
θήκην ἄνευ χρόνου, ἧς μηδὲν μέρος ἐστὶ σημαντικὸν κεχωρισμένον· τὸ μὲν οὖν φωνὴ ἐν-
ταῦθα ὡς γένος εἴληπται· ὁμοίως γὰρ τῷ ῥήματι καὶ τῷ λόγῳ ἁρμόττει, ὡς καὶ ἑκατέρῳ ὁρισθήσεται.
διαφέρει δὲ ψόφου καὶ τοῦ τόνου, ὡς ἐστὶ φωνή· λέγεται β΄ον τὸ ὄνομα φωνὴ σημαντικὴ εἰς
διαφορὰν τῶν ἀσήμων φωνῶν, οἷον βλίτυρι· γ΄ον λέγεται κατὰ συνθήκην, πρὸς διακρίνειν τῶν
μὴ κατὰ συνθήκην σημαντικῶν φωνῶν, οἷον ἐπὶ [illegible] · δ΄ον ἄνευ χρόνου εἰς διαφορὰν

τοῦ ὀνόματος πρὸς τὸ ῥῆμα ἀπεργάζεται· ε΄ον ἧς μηδὲν μέρος ἐστὶ σημαντικὸν κεχωρισμέ-
ον πρὸς ἀντιδιαστολὴν τοῦ ὀνόματος πρὸς τὸν λόγον καὶ τὸν κατὰ συμπλοκὴν ὅρον· τὰ γὰρ μέρη
τοῦ λόγου κεχωρισμένα γίνονται καθ' αὑτὰ σημαντικά, ὁμοίως καὶ τὰ μέρη τοῦ κατὰ συμπλοκὴν ὅρου.
ἔνστασις α΄ον ὁ ὀρθῶς ἔχων ὁρισμὸς πᾶσι τοῖς ὁριζομένοις ἐφαρμόττει· ἀλλ' ὁ ἀποδοθεὶς τῷ
[illegible] τοῦ ὀνόματος ὁρισμὸς οὐ πᾶσιν ἐφαρμόττει τοῖς ὁριστοῖς· ἄρα οὐκ ὀρθῶς ἀποδέδοται·
οὐ γὰρ ἐφαρμόττει τῷ ἐν τῇ ψυχῇ καὶ γεγραμμένῳ ὀνόματι.
ἀπαντητέον ἐνταῦθα ὁρίζεσθαι τῷ φιλοσόφῳ, οὐ τὸ ἐν τῇ ψυχῇ ὄνομα, ἤτοι νόημα, οὔτε τὸ
ἐν γράμμασιν, ἀλλὰ τὸ ἐν τῇ φωνῇ μόνον.
ἔνστασις β΄ον τὰ ὀνόματα φύσει εἰσὶ σημαντικά, ἄρα οὐκ ὀρθῶς εἴρηται τοὔνομα φωνὴν εἶναι κα-
τὰ συνθήκην σημαντικήν, δηλοῦται τὸ ἡγούμενον· τὸ γὰρ ὄνομα, καὶ αἱ λοιπαὶ φωναί, ὄργανα
εἰσὶ τῆς ἐμφύτου ἡμῶν λογικῆς δυνάμεως· τὰ γὰρ ὄργανα τῆς ἐμφύτου δυνάμεως φύσει εἰσὶ
τοιαῦτα, καὶ οὐ κατὰ συνθήκην, ἄρα τὸ ὄνομα καὶ αἱ λοιπαὶ φωναὶ φύσει εἰσὶ σημαντικαὶ καὶ
οὐ κατὰ συνθήκην.
ἀπαντητέον πρὸς ταῦτα, ὅτι δίδοται μὲν τῷ αὐτῷ ὡς ὄργανον ἡ φωνή, οὐ δὲ τοιόσδε ἢ τοιόσδε
σχηματισμὸς τῆς φωνῆς, καθ' ὃν αὕτη γίνεται σημαντικὴ τοῦδε ἢ τοῦδε, ὅ ἐστιν οὐκ ἀπὸ φύσεως ἀλλὰ
κατὰ συνθήκην· γ΄ον ἡ ὥρα, ἡμέρα, ἑβδομάς, μήν, ἐνιαυτός, εἰσὶν ὀνόματα, ἀλλ' ὅμως σημαίνου-
σι ταῦτα χρόνον, οὐκ ὀρθῶς ἄρα ἀποδέδοται τὸ ὄνομα, ὅτι ἐστὶ φωνὴ σημαντικὴ ἄνευ χρόνου· ἔτι
τὸ ἄριστον, δεῖπνον, καὶ τὰ τοιαῦτα ὀνόματα εἰσί, προσσημαίνουσι μέντοι χρόνον καθ' ὃν εἴωθε γίνεσθαι.
εἰς λύσιν τούτων λεκτέον, ὅτι ἄλλο ἐστὶ σημαίνειν, καὶ συσσημαίνειν, καὶ προσσημαίνειν χρόνον·
σημαίνειν γὰρ χρόνον ἡ φωνὴ ἐκείνη λέγεται, ἧς ὁ χρόνος αὐτὸς ἐστὶ τὸ σημαινόμενον καθ' ἑαυ-
τὸ ὡς πρᾶγμα, οἷον ἐστὶν αὐτὸ τοῦτο τὸ τοῦ χρόνου ὄνομα, καὶ ὅσα σημαντικὰ τῶν μερῶν τοῦ χρόνου,
οἷον ἔτος, μήν, καὶ τὰ τοιαῦτα· συσσημαίνειν χρόνον φωνὴ ἐκείνη λέγεται, ἥτις συσσημαίνει τι
ἐν ὡρισμένῳ χρόνῳ γινόμενον, ἐν κινήσει δέ, ὡς ἔδραμον, ἔλεγον, ἅπερ σημαίνει καὶ
προηγουμένως τὴν ποίησιν, συσσημαίνοντα ἄρα καὶ τὸν χρόνον, καθ' ὃν γίνεσθαι εἴωθε, προσση-
μαίνει δὲ τοῦτον ὡς ἐνυπάρχοντα καὶ ἕποντα· προσσημαίνειν χρόνον λέγεται, ἡνίκα ὁ χρόνος ἐν
κινήσει προσσημαίνεται ὑπὸ [illegible] ἤτοι ἔν τινι διαφορᾷ χρόνου [illegible] δηλοῖ, ἢ παρῳχημένου, ἢ
μέλλοντος, τοῦτον δὲ τὸν τρόπον τοὔνομα οὐκ ὀφείλει προσσημαίνειν χρόνον· ἐστὶ γὰρ ἰδιάζουσα
προσσημεία ἤτοι σημασία τοῖς ῥήμασιν.

ἀπαν-

Ἀπαντῶνται τινὲς ἀπορίαν πρὸς τὴν ἔνστασιν λέγοντες, ὅτι ἡ ὥρα, ἡμέρα, καὶ τὰ ἄλλα, ὀνό-
ματα ὄντα σημαίνουσι χρόνον, ἡμέρας χρόνου, χθὲς δὲ καὶ προσσημαίνουσι χρόνον ὥσπερ τὰ ῥήμα-
τα. ὁμοίως καὶ περὶ τινῶν ῥητέον, ὅτι τὸ πρότερον καὶ τὸ ὕστερον σημαίνουσι μὲν χρόνον καθ' ὅτι γί-
νεται γίγνωσθαι, οὐ προσσημαίνει δὲ τοῦτο ὡς ἐνεστῶτα καὶ ῥέοντα. Δεύτερον· τὸ ἐφίλει, τὸ ἐτύπτετο καὶ τὰ
τοιαῦτα, καὶ τῶν ὀνομάτων ἐκπεριλαμβανόμενοι τάξει, ἀλλὰ ταῦτα προσσημαίνουσι χρόνον ἐνεστῶτα ἀ-
ρα. Λύσις: ῥητέον ὅτι τὸ ἐφίλει, τὸ ἐτύπτετο, οὔτε ὀνόμασι κυρίως συναριθμοῦνται. ῥήματα γάρ ἐ-
στιν ἀπαρέμφατα, καὶ τοῖς ἄρθροις ὡς τὰ πολλὰ συντασσόμενα. ἐπεὶ δὲ οὐδὲν ἔτι προσσημαίνου-
σι χρόνον. Τρίτον· καλλίστασθαι, ἐπανεγράψης καὶ τὰ τοιαῦτα παρασυνθετικά ἐστιν ὀνόματα, ἀλλὰ τὰ
μέρη τούτων σημαντικά ἐστι· σημαίνουσι γὰρ καλός, ἵππος, κέλης· οὐκ ἄρα ὑγιῶς ὁρίζεται
τοῦ ὀνόματος μηδὲν μέρος εἶναι σημαντικὸν κεχωρισμένον. ῥητέον ὅτι τὰ τοιαῦτα μέρη
τῶν συνθέτων δοκοῦσι μὲν σημαίνειν, οὐ σημαίνουσι δέ· μάτην γὰρ τὴν ἀπὸ τοῦ συνθέτου διαφέ-
ρουσιν ἀσήμαντα τὰ μέρη ἐστὶν ὅσον πρὸς τὸ σύνθετον. Τίθησι δὲ ὁ φιλόσοφος τοῦ ὀνόματος διαφο-
ρὰς τρεῖς. τὸ μὲν γὰρ ὡρισμένον λέγεσθαι βούλεται, οἷον ἄνθρωπος· τὸ δὲ ἀόριστον οἷον οὐκ ἄνθρωπος,
τὸ δὲ πτῶσις ὀνόματος, εἰσὶ δὲ τοιαῦτα ὅσα μὴ κατ' ὀρθὴν πτῶσιν ἐκφέρεται, οἷον φίλωνος, φίλωνι:—

Κεφάλαιον β'. περὶ ῥήματος.

ῥῆμα ἐστὶ φωνὴ σημαντικὴ κατὰ συνθήκην, προσσημαῖνον χρόνον, ἧς μέρος οὐδὲν σημαί-
νει χωρίς, καὶ ἔστιν ἀεὶ τῶν καθ' ἑτέρου λεγομένων σημεῖον. λέγεται τὸ ῥῆμα, ὅτι προσσημαίνει χρό-
νον, καθ' ὃ καὶ ἀντιδιαστέλλεται τοῦ ὀνόματος, εἶναι γὰρ φωνὴν σημαντικὴν κατὰ συνθήκην, ὅ
καὶ τὸ ἐπέκεινα γένος, κοινόν ἐστι καὶ τῷ ὀνόματι. δηλοῖ δὲ τὸ προσσημαῖνον χρόνον, τὸ μετὰ
τῆς σημαινομένης κινήσεως, ἢ πάθους, καὶ τὸν χρόνον συνεμφαίνειν, καθ' ὃν ἡ κίνησις καὶ τὸ πά-
θος. λέγεται ἔτι ὅτι ἐστὶν ἀεὶ τῶν καθ' ἑτέρου λεγομένων σημεῖον δι' οὗ δηλοῦται ὅτι τὸ ῥῆμα ἀ-
εὶ ἐν ταῖς προτάσεσι χώραν κατηγορουμένου πληροῖ· οἷον ὁ ἄνθρωπος περιπατεῖ· ἥν δὲ ποτε ἐν ὑπο-
κειμένου λόγῳ ληφθῇ τὸ ῥῆμα, οὐκ ἔτι ῥῆμα, ἀλλ' ὄνομα. τὰ δὲ λοιπὰ μέρη τῆς ὑπογραφῆς
κοινὰ ὄντα καὶ τῷ ὀνόματι, ἐν τῷ περὶ ἐκείνου λόγῳ τῆς προσηκούσης τετυχήκασιν ἐξηγήσεως.
ὥσπερ δὲ τῶν ὀνομάτων τὰ μὲν ὡρισμένα εἰσί, τὰ δ' ἀόριστα, τὰ δὲ πτώσεις ὀνόματος, οὕτω καὶ
τῶν ῥημάτων, τὰ μὲν ὡρισμένα ἐστίν, οἷον λέγω, γράφω· τὰ δὲ ἀόριστα, οἷον οὐ λέγω· τὰ δὲ
πτώσεις ῥήματος, οἷον ἔγραφα, γέγραφα. παρὰ γὰρ τοῖς λογικευομένοις, ὁ ἐνεστὼς μόνον
τῶν ὁριστικῶν ῥῆμα καλοῦσιν, οἱ δὲ ἄλλοι χρόνοι πτώσεις ῥήματος. μόνος γὰρ ὁ ἐνεστὼς

πὼς σημαίνει καθ' ἑαυτὸν ἀλήθειαν ἢ ψεῦδος ἐν ταῖς προτάσεσιν, οἱ δὲ ἄλλοι χρόνοι οὐκ ἄλλως ἢ πρὸς αὐ-
τὸν ἐνεστῶτα ἀναφερόμενοι.
Ἰστέον δ' ὅτι καὶ τῶν ῥημάτων οὐκ ἀπόχρη ἡ ἄρνησις ὁποσοῦν προτεθεῖσα ἀόριστα ἀπεργάζεσθαι. πο-
λάκις γὰρ οὕτω κειμένη ποιεῖ πρότασιν ἀποφατικήν, ἀλλ' οὐκ ἀόριστον ὄνομα, ἀλλ' ὅταν ἀνί-
κα ἀναλύομεν τοῦ ῥήματος, εἰς τὸ ὑπαρκτικόν, ἡ ἄρνησις προστίθεται τῇ ἐξ αὐτοῦ μετοχῇ, οἷον·
ἐστὶ μὴ λέγων, μὴ γράφων. Ἐπιχειροῦσι δέ τινες λέγοντες, ὅτι αἱ προτάσεις αὗται, ὁ Ἀδὰμ
ὑπῆρξεν, ὁ Ἀντίχριστος ἔσται, εἰσὶν ἀληθεῖς· ὅτι γε τῆς θεοπνεύστου γραφῆς ῥητά, ἃ οὐκ ἔστι ψεύ-
δεσθαι ποτέ, ἀλλ' αὗται διὰ παρῳχημένου καὶ μέλλοντος προφέρονται χρόνου, ἃς καλεῖ πτώσεις ῥή-
ματος ὁ φιλόσοφος· αἱ πτώσεις ἄρα τοῦ ῥήματος σημαίνουσιν ἀλήθειαν ὥσπερ καὶ ὁ ἐνεστώς.
Ἀπαντητέον ὅτι σημαίνουσιν ἀλήθειαν, ἀλλ' οὐ καθ' ἑαυτάς, καὶ ἡ πτῶσίς ἐστι ῥήματος, ἀλλ' ἐφ' ὅσον
πρὸς τὸν ἐνεστῶτα ἀναφέρονται, οὐ γάρ ἐστιν ἀληθὲς εἰπεῖν, ὅτι ὁ Ἀδὰμ ὑπῆρξεν, εἰ μὴ ἦν ποτε ἀλη-
θὲς εἰπεῖν, ὅτι ἐστὶν ὁ Ἀδάμ, καὶ οὐδὲ ἔστιν ἀληθές, ὅτι ὁ Ἀντίχριστος ἔσται, εἰ μὴ μέλλει ποτὲ ἀ-
ληθεύειν ὅτι ὁ Ἀντίχριστος ἐστί:—

Κεφάλαιον γ'. περὶ λόγου.

Ὁ λόγος ὁρίζεται τῷ φιλοσόφῳ, ὅτι ἐστὶ φωνὴ σημαντικὴ κατὰ συνθήκην, ἧς τῶν μερῶν τι σημαντικόν
ἐστι κεχωρισμένον, ὡς φάσις, ἀλλ' οὐχ ὡς κατάφασις, ἢ ἀπόφασις, τρία δ' εἰσὶ τὰ μέρη τῆς ὑπογρα-
φῆς ταύτης, ὧν τὸ μέν ἐστιν ὅτι ἐστὶ φωνὴ σημαντικὴ κατὰ συνθήκην, ὃ καὶ γένος ἐπέκεινα ἐστί, κοι-
νὸν γάρ ἐστι καὶ τοῦ ὀνόματος καὶ τοῦ ῥήματος. δεύτερον· ὅτι ἧς τῶν μερῶν τι σημαντικόν ἐστι κεχωρισμέ-
νον, δι' οὗ ἀντιδιαστέλλεται ὁ λόγος τοῦ τε ὀνόματος καὶ ῥήματος. τρίτον· ὅτι σημαίνουσι τὰ μέρη τοῦ λόγου
κεχωρισμένα, οὐχ ὡς κατάφασις, ἢ ἀπόφασις, ἀλλ' ὡς φάσις μόνον, ἡ δὲ φάσις ἐστὶ φωνὴ σημαν-
τικὴ κατὰ συνθήκην ὡς μέρος καταφάσεως, ἢ ἀποφάσεως, τοῦτ' ἔστιν ἢ ἀληθοῦς ἀντιφάσεως, οἷον ἄνθρωπος περιπατεῖ.
Ἐρεῖς· τὸ ὁ ἄνθρωπος τρέχει, κινεῖται, ἐστὶ λόγος, ἀλλὰ τὰ μέρη τούτων σημαντικά εἰσιν ὡς καταφάσεις,
οὐχ ὑγιῶς ἄρα ὁρίζεται τὰ μέρη τοῦ λόγου εἶναι σημαντικὰ ὡς φάσις μόνον.
Ἀπαντητέον ὅτι ὁ προειρημένος λόγος ἐστὶν ὑποθετικός. ὁ δὲ φιλόσοφος ἐν τῇ ἐκθέσει τῆς ὑπογραφῆς
οὐ περιέληφε καὶ τὸν ὑποθετικὸν λόγον, ἀλλὰ μόνον τὸν κατηγορικόν.
Διαιρεῖται δὲ ὁ λόγος, εἰς ἐντελῆ, καὶ ἀτελῆ, καὶ ἀτελὴς μέν ἐστιν ὁ ἐντελῆ διάνοιαν μὴ ἐκφαίνων
οἷον ἀνθρώπου διάνοια. ἐντελὴς δέ, ὁ αὐτοτελῆ τὴν διάνοιαν ἐκφαίνων, οἷον ὁ ἄνθρωπος ἐστὶ δίκαιος,
ὃς καὶ ὑποδιαιρεῖται εἰς εὐκτικόν, κλητικόν, προστακτικόν, ἐρωτηματικόν, καὶ ἀποφαντικόν.
οἱ λογικευόμενοι δὲ περὶ τὸν ἀποφαντικὸν μόνον καταγίνονται λόγον, μόνος γὰρ οὗτος δεκτικὸς ἀληθείας,
ἢ

ἢ ψεῦδος, καὶ διαφέρει ἡ φησὶν Ἀμμώνιος τὰ παθήματα τῶν γνωστικῶν δυνάμεων. οἱ δ' ἄλλοι τῶν ὀ-
ρεκτικῶν δυνάμεων πάθη σημαίνουσι καὶ ἀνυπόστατοί εἰσιν ἀληθείας ἢ ψεύδους.

κεφ. δ΄. περὶ ἀποφάνσεως καὶ διαιρέσεως τῆς αὐτῆς.

Ἀπόφανσις κατὰ τὰ εἰρημένα, ἀπαρτίζεται λειτουργήματα (?), ἔλαβε καὶ τὸ ὄνομα· ὅ-
θεν μὲν ἡ τοῦ νοὸς περίληψιν ἐξαγγέλλει, ἡ δὲ προφορὰ αὐτὸ παρεμφαίνει, λέγεται ἀπό-
φανσις ἡ ἑρμηνεία. ὅταν δὲ περιέχηται εἰς ζήτησιν, ζήτησις.
ἡ γνώμη δ' αὖ καὶ πρότασις προσαγορεύεται, ὅταν ἑτέρῳ ἀπόδειξιν προβάλλῃ, συμπέρα-
σμα δ', ἤτοι ἐπίλογον, ὅταν ἐκ τῶν ἡγουμένων παράγηται. καὶ πρόβλημα ἔνστασις (?) ἀπούσης ὅ-
τε δ' αὐτῆς ἡ καταπολεμεῖται. Ὁ ποιὸς δὴ ποιοῦν (?) ἡ ἀπόφανσις καλουμένη ὁρίζεται τοῖς
λογικευομένοις, ὅτι ἐστὶ λόγος ἀποφαντικὸς δεκτικὸς ἀληθείας ἢ ψεύδους, ἤτοι λόγος κα-
ταφατικὸς ἢ ἀποφατικὸς τινὸς κατά τινος, καὶ ὁ μὲν λόγος ἀντὶ τῆς ὑπογραφῆς ταύτης, χώ-
ραν ἐπέχει γένους· ὁμοίως γὰρ πάσαις ταῖς ἀποφάνσεσι καὶ ταῖς ἀθετήσεσιν (?) ἁρμόζει. τὰ δὲ
λοιπὰ μόρια διαφοραί. δι' αὐτῶν γὰρ ἀντιδιαστέλλεται τῶν [illegible] ἀληθείας ἢ ψεύδους λόγων.
Διαιρεῖται δ' ἡ ἀπόφανσις εἰς ἁπλῆν, ἤτοι κατηγορικήν, καὶ εἰς σύνθετον, ἤτοι ὑποθετι-
κήν. ἁπλῆ μέν ἐστιν, ἡ ἐξ ἁπλοῦ ὑποκειμένου κατηγορουμένου τε καὶ συνδέσμου συνεστῶσ-
α, οἷον ὁ Πλάτων ἐστὶ δίκαιος. σύνθετος δέ, ἡ ἐκ πλειόνων ἀποφάνσεων καταφατικῶν, ἢ
ἀποφατικῶν συνδέσμῳ τινὶ ζευγνυμένων συνεστῶσα. σύνδεσμοι δέ εἰσιν, εἰ, καὶ, ἢ, ὅτι, διότι· οἷον εἰ
τρέχει κινεῖται, ὅτι ἐστὶν ἥλιος ἐστὶν ἡμέρα, ὁ διδάσκαλος λέγει καὶ ὁ μαθητὴς ἀκούει,
ὁ Σωκράτης κάθηται, ἢ ἵσταται. Ὑποδιαιρεῖται ἡ ἁπλῆ ἀπόφανσις, εἰς ἀπόφαν-
σιν ἐξ ἁπλοῦ ὅρου, καὶ εἰς ἀπόφανσιν ἐκ συνθέτου ὅρου, ἀπόφανσις ἐξ ἁπλοῦ ὅ-
ρου ἐστίν, ἡ ἐξ ἁπλῶν ὅρων, ἤτοι ὑποκειμένου καὶ κατηγορουμένου συνεστῶσα, οἷον
ὁ ἄνθρωπος ἐστὶ δίκαιος. ἀπόφανσις δ' ἐκ συμπεπλεγμένου ὅρου ἐστὶν ἡ συνεστῶσα ἢ ἐξ
ὑποκειμένου συνθέτου, οἷον ὁ δίκαιος ἄνθρωπος ἐστὶ μακάριος, ἢ ἐκ συνθέτου κατηγορουμένου, οἷον
ὁ Σωκράτης ἐστὶ σοφὸς καὶ δίκαιος. ἢ ἐξ ἀμφοτέρων συνθέτων, οἷον ὁ ἀγαθὸς ἄνθρωπος ἐστὶν ἁ-
πλοῦς καὶ ἥμερος. ταῦτα δ' οὐ λέγονται πολλὰ ὑποκείμενα, ἢ κατηγορούμενα, ἀλλ' ἓν
μόνον. ἑνὶ γὰρ ῥήματι μόνῳ συνάπτεται. ἡ οὖν ἀπόφανσις ἢ ἐξ ἁπλοῦ ὅρου,
ἢ ἐκ συνθέτου διαιρεῖται εἰς ἀπολελυμένην, καὶ μετὰ τρόπου. ἀπολελυμένη ἐστὶν, ἡ
ἀπολύτως ἤ τινι ὑπάρχον, ἢ μὴ ὑπάρχον σημαίνουσα, οἷον ὁ ἄνθρωπος ἐστὶ ζῷον, ὁ ἄνθρωπος οὐ-
κ ἔστι λίθος. μετὰ τρόπου ἀπόφανσις ἐστίν, ἡ σημαίνουσα τὸν τρόπον, καθ' ὃν ἐνυπάρχει τὸ κα-
τηγορούμενον τῷ ὑποκειμένῳ, οἷον ἄνθρωπος ἀναγκαίως ἐστὶ ζῷον, ὁ τοῖχος ἐνδεχομένως ἐστὶ λευκόν,
δυνατόν ἐστι τὸν ἄνθρωπον φιλοσοφεῖν. τῆς ἁπλῆς αὖθις ἀποφάνσεως, ἡ μὲν ἐκ δευτέρου, ἡ δ' ἐκ τρίτου,
ποτὲ ἐνθεῖναι προσκατηγορουμένου λέγεται. ἐκ δευτέρου προσκατηγορουμένου ἐστίν, ἡ ἐκ μόνου ὑποκειμένου
καὶ ῥήματος συνεστῶσα, οἷον ὁ Πλάτων ἀναγινώσκει. ὅτι τὸ ῥῆμα κατηγορεῖται καὶ διὰ προσώπου.
ἐκ τρίτου προσκατηγορουμένου, ἀπόφανσις ἐστίν, ἧ τὸ ἐστὶ τρίτον προσῆπται, οἷον ὁ ἄνθρωπος ἐστὶ λευκός. τὸ γὰρ
ἐστὶ τρίτον προσκατηγορεῖται ἐν ταῖς τοιαύταις ἀποφάνσεσι:— κεφ. ε΄.

περὶ ὕλης, εἴδους, ποσότητος καὶ ποιότητος τῆς ἀποφάνσεως.

Ὕλη τῆς ἀποφάνσεως, ἤτοι προτάσεως, εἰσὶν οἱ ὅροι, ἐξ ὧν σύγκειται, τὸ ὑποκείμενον δηλ. καὶ
τὸ κατηγορούμενον. τριπλῆ δ' αὕτη, ἡ μὲν ἀναγκαία, ποτὲ ἐνδεχομένη, ποτὲ ἀδύνατος. ὕ-
λη ἀναγκαία ἐστὶν ὅταν τὸ κατηγορούμενον ἀεὶ προσῇ τῷ ὑποκειμένῳ, ὥστε μηδέποτε
ἐνδέχεσθαι αὐτῷ μὴ προσεῖναι, διὰ τὴν ταυτότητα ἣν ἔχουσι πρὸς ἄλληλα, οἷον ὁ
ἄνθρωπος ἐστὶ ζῷον. ἀεὶ γὰρ ἀληθές, οὐδ' ἐνδέχεται ποτὲ τὸν ἄνθρωπον μὴ εἶναι ζῷον. τὸ γὰρ κα-
τηγορούμενον φύσει ἀεὶ συνῆπται τῷ ὑποκειμένῳ ἐν ταῖς τοιαύταις προτάσεσιν. ἐν-
δεχομένη ἐστὶν ὅταν τὸ κατηγορούμενον οὐ συνάπτηται ἐξ ἀνάγκης τῷ ὑποκειμένῳ, ἀλλ' ἐνδέ-
χεται ὑπάρχειν καὶ μὴ ὑπάρχειν, καὶ ἑπομένως ποτὲ μὲν ἀληθεύειν, ποτὲ δὲ ψεύδεσθαι
τὴν πρότασιν, οἷον ὁ Σωκράτης τρέχει. ὕλη ἀδύνατος ἐστίν, ὅταν τὸ κατηγορούμενον
οὕτως ἀλλοτριοῦται τοῦ ὑποκειμένου, ὥστε μηδέποτε ἐνδέχεσθαι αὐτῷ ἐνυπάρ-
χειν, οἷον ὁ λίθος αἰσθάνεται ὅπερ ἀεὶ ἐστι ψεῦδος. ἐνταῦθα δὲ τῆς τριπλῆς ὕ-
λης τριπλοῦν ἀναφύεται προτάσεων γένος, αἱ μὲν γάρ εἰσιν ἀναγκαῖαι, αἱ δὲ
ἐνδεχόμεναι, αἱ δὲ ἀδύνατοι.
Εἶδος τῆς προτάσεως ἐστὶ τὸ ῥῆμα, ἤτοι ὁ σύνδεσμος τοῦ κατηγορουμένου καὶ ὑπο-
κειμένου. ἡ γὰρ πρότασις σύνθετόν τι ἐστί, τὸ δὲ εἶδος ἡ ἕνωσις δέδωσιν. ἐπειδὴ τὸ
ῥῆμα συνάπτει τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον, λέγεται εἶδος τῆς αὐτῆς. διὰ
δὲ τοῦ εἴδους τοῦ ῥήματος διαιρεῖται ἡ πρότασις εἰς καταφατικὴν καὶ ἀποφατικήν. ἀπο-
φατικὴ μέν ἐστιν, ἧς τὸ ῥῆμα ἀποφασκόμενον ὄν, ἀφαιρεῖ τὸ κατηγορούμενον τοῦ ὑ-
ποκειμένου, οἷον ὁ τοῖχος οὐκ ἔστι λευκός. καταφατικὴ δέ, ἧς τὸ ῥῆμα καταφασκόμενον
ἐμφαίνει τὸ κατηγορούμενον ἐνυπάρχον τῷ ὑποκειμένῳ, οἷον ὁ ἄνθρωπος ἐστὶ λευκός.

πο-

Ποσότης τῆς προτάσεως ἐστίν, ἡ ἔκτασις, ἢ συστολὴ τῆς σημασίας τοῦ ὑποκειμένου. Τῷ λόγῳ δὲ ταύτης τῆς προτάσεως ποσότητος, διαιρεῖται ἡ πρότασις εἰς καθολικήν, μερικήν, ἀπροσδιόριστον καὶ ἀτομικήν. Καθολικὴ πρότασις ἐστίν, ἧς τῷ ὑποκειμένῳ κοινῷ ὄντι ὅρῳ, προστίθεται καθολικὸς προσδιορισμός, οἷον πᾶς ἄνθρωπος ἐστὶ ζῷον, οὐδεὶς ἄνθρωπος ἐστὶ λίθος. Προσδιορισμοὶ δὲ τέσσαρες, δύο μὲν καθολικοί, πᾶς, οὐδείς, δύο δὲ μερικοί, τὶς, οὐ πᾶς. ἤτοι μὲν καθολικοί, ὁ μὲν πᾶς ἐστὶ καταφατικός, ὁ δὲ οὐδείς, ἀποφατικός. ὡσαύτως καὶ τῶν μερικῶν, ὁ μὲν τὶς καταφατικός, ὁ δὲ οὐ πᾶς, ἀποφατικός. Μερικὴ πρότασις ἐστίν, ἧς τῷ ὑποκειμένῳ κοινῷ ὄντι ὅρῳ προστίθεται τις μερικὸς προσδιορισμός, οἷον τὶς ἄνθρωπος ἐστὶ λευκός. οὐ πᾶς ἄνθρωπος ἐστὶ λευκός. Ἀπροσδιόριστος δέ, ἧς τῷ ὑποκειμένῳ κοινῷ ὄντι ὅρῳ οὐδεὶς προστίθεται προσδιορισμός, οἷον ὁ ἄνθρωπος ἐστὶ λευκός. Ἴσον δ' ἐστὶ τῇ ἀπροσδιορίστῳ προτάσει ἡ ὕλη ἐὰν ἐνδεχομένη ᾖ, τὸ ὑποκείμενον λαμβάνεται μερικῶς, ὥστε ἔχει μερικὸν προσδιορισμόν, ταὐτὸ γάρ ἐστιν εἰπεῖν, ὁ ἄνθρωπος ἐστὶ λευκός, καὶ τὶς ἄνθρωπος ἐστὶ λευκός. Ἐπὶ δὲ τῆς ἀναγκαίας καὶ ἀδυνάτου ὕλης ἡ ἀπροσδιόριστος πρότασις ἰσοδυναμεῖ τῇ καθολικῇ. εἰπεῖν γὰρ ὁ ἄνθρωπος ἐστὶ ζῷον, ἢ ὁ ἄνθρωπος οὐκ ἐστὶ λίθος, ἴσον, οὐδεὶς ἄνθρωπος ἐστὶ λίθος. Καθ' μέρος πρότασις ἐστίν, ἧς τὸ ὑποκείμενον, ἢ ἐστὶν ὅρος μερικός, οἷον ὁ Σωκράτης ἐστὶν ἄνθρωπος, ἢ κοινόν, ᾧ προστίθεται τις ἀντωνυμία δεικτική, οἷον οὗτος ὁ ἄνθρωπος ἐστὶ λευκός, ἐκεῖνος ὁ λίθος καὶ τὰ ὅμοια.

Πρόσεχε οὖν ὅτι πρὸς τὴν ποσότητα τῆς προτάσεως οὐκ ἀνήκει ἡ τοῦ κατηγορουμένου ποσότης, ἀλλὰ τοῦ ὑποκειμένου. Οὗ χάριν καθολική ἐστιν αὕτη, πάντα τὰ θεῖα εἰσὶ πρόσωπα τοῦ θεοῦ, καίτοι τὸ κατηγορούμενον θεός, τοῦτ' ἔστι μερικὸν ὄν.

Ποιότης τῆς προτάσεως ἐστί, τὸ καταφατικὰς ἢ ἀποφατικὰς εἶναι τὰς αὐτάς, ἢ καὶ τὸ ἴδιον τῆς προτάσεως πάθος, καθ' ὃ καὶ διαιρεῖται ἡ πρότασις εἰς ἀληθῆ καὶ ψευδῆ. Ἀληθὴς μὲν ἐστίν, ἡ σημαίνουσα ὑπάρχον τὸ ὡς ἀληθῶς ὑπάρχον, ἢ μὴ ὑπάρχον τὸ μὴ ὑπάρχον, οἷον ὁ ἄνθρωπος ἐστὶ ζῷον, ὁ ἄνθρωπος οὐκ ἐστὶ λίθος. Ψευδὴς δὲ ἡ καταφάσκουσα ὑπάρχον τὸ ὡς ἀληθῶς μὴ ὑπάρχον, ἢ μὴ ὑπάρχον τὸ ὑπάρχον, οἷον ὁ ἄνθρωπος ἐστὶ λίθος, ὁ ἄνθρωπος οὐκ ἐστὶ λογικός. Ἔστι γὰρ ἀλήθεια σύμφωνος, ἢ σύμμετρος νόησις τῇ ὄντᾳ καὶ ὑπάρξει τῶν νοητῶν πραγμάτων. Ψεῦδος δέ, ἀσύμφωνος, ἢ ἀσύμμετρος νόησις τῇ ὄντᾳ καὶ ὑπάρξει τῶν νοουμένων πραγμάτων. Ὅθεν ἔτι καὶ τῷ ... τοῦ κατηγορουμένου διαιρεῖται ἡ πρότασις εἰς κατάλληλον καὶ ἀκατάλληλον. Κατάλληλος μὲν ἐστίν, ἐν ᾗ ἐκεῖνο μὲν ἐστὶν ὑποκείμενον, ὃ ὑποκεῖσθαι ὀφείλει. ἐκεῖνο δὲ κατηγορούμενον, ὅπερ ὀφείλει κατηγορεῖσθαι. ἀεὶ δὲ τὸν ἐλάσσονα ὅρον δεῖ ὑποκεῖσθαι τῷ μείζονι, οἷον ὁ λίθος ἐστὶν οὐσία, ὁ ἄνθρωπος ἐστὶ ζῷον. ὡσαύτως ἀεὶ τὸ ὑποκείμενον χρὴ ὑποκεῖσθαι τῷ ἰδικῷ συμβεβηκότι, καὶ τὸ ὁριστὸν τῷ ὁρισμῷ, οἷον ἡ χεὶρ ἐστὶ θερμή, ἄνθρωπος ἐστὶ ζῷον λογικόν. Ἀκατάλληλος δέ, ἐν ᾗ ἐστὶ κατηγορούμενον, ὃ ὑποκείμενον εἶναι ὀφείλει, καὶ ἀνάπαλιν, οἷον τὸ ζῷον ἐστὶν ἄνθρωπος, τὸ λευκόν ἐστιν ἄνθρωπος, τὸ λευκὸν χιών. κτλ.

Κεφ. ε'. Περὶ ἀντιθέσεως τῶν ἁπλῶν προτάσεων.

Ἀντίθεσις ἐστὶ μάχη δύο προτάσεων τοῦ αὐτοῦ ὑποκειμένου καὶ κατηγορουμένου κατὰ ποσότητα, ἢ ποιότητα, ἢ ἀμφοτέρας, ὅτι ἀντὶ ποιότητος μὲν ἐννοεῖται ἡ κατάφασις, ἢ ἀπόφασις, ἀντὶ ποσότητος δέ, ἡ μείζων, ἢ ἐλάσσων καθολικότης. Ἔστι δὲ ἡ ἀντίθεσις τετραπλῆ, ἐναντία, ὑπεναντία, ὑπάλληλος, καὶ ἀντιφατική. Ἀντιφατική ἐστι μάχη δύο προτάσεων κατὰ ποσότητα καὶ ποιότητα. ὅταν δηλαδὴ ἡ μὲν ᾖ καθολικὴ καταφατική, ἡ δὲ μερικὴ ἀποφατική, οἷον πᾶς ἄνθρωπος ἐστὶ λευκός, οὐ πᾶς ἄνθρωπος ἐστὶ λευκός. ἢ καὶ ἀνάπαλιν, ἡ μὲν καθολικὴ ἀποφατική, ἡ δὲ μερικὴ καταφατική, οἷον οὐδεὶς ἄνθρωπος ἐστὶ λευκός, τὶς ἄνθρωπος ἐστὶ λευκός. ὑπὸ ταύτην ἀνάγεται καὶ ἡ ἀντίθεσις τῶν ἀτομικῶν προτάσεων, ὅταν ἡ μὲν ἀπόφασις ᾖ, ἡ δὲ ἑτέρα κατάφασις, οἷον ὁ Σωκράτης ἐστὶ λευκός, ὁ Σωκράτης οὐκ ἐστὶ λευκός. Ἐναντία ἀντίθεσις ἐστὶ μάχη δύο καθολικῶν προτάσεων κατὰ μόνην τὴν ποιότητα, ὧν ἡ μὲν ᾖ καταφατική, ἡ δὲ ἑτέρα ἀποφατική, οἷον πᾶς ἄνθρωπος ἐστὶ λευκός, οὐδεὶς ἄνθρωπος ἐστὶ λευκός. Ὑπεναντία ἐστὶ μάχη δύο μερικῶν προτάσεων κατὰ μόνην τὴν ποιότητα, ὧν ἡ μὲν ᾖ καταφατική, ἡ δὲ ἀποφατική, οἷον τὶς ἄνθρωπος ἐστὶ λευκός, οὐ πᾶς ἄνθρωπος ἐστὶ λευκός. Ὑπάλληλος ἐστὶ μάχη δύο προτάσεων κατὰ μόνην τὴν ποσότητα, ὧν ἡ μὲν ᾖ καθολική, ἡ δὲ ἐπὶ μέρους, ἀμφότεραι μέντοι καταφατικαί, οἷον πᾶς ἄνθρωπος ἐστὶ λευκός, τὶς ἄνθρωπος ἐστὶ λευκός, ἢ ἀποφατικαί, οἷον οὐδεὶς ἄνθρωπος ἐστὶ λευκός, οὐ πᾶς ἄνθρωπος ἐστὶ λευκός. Αὕτη μέντοι οὐκ ἔστιν ἀκριβὴς ἀντίθεσις. ἡ γὰρ ἐπὶ μέρους περιέχεται ὑπὸ τῆς καθολικῆς, καὶ τῆς ἐκείνης ἀληθείας ἐξήρτηται. Τὰς ἀντικειμένας δὲ τούτων κατάληψιν, ἐνθυμεῖσθαι τοῖς

γυμναζομένοις ἅπασι δεῖ

τὸ διάγραμμα.



Κανόνες ἐπὶ τῶν ἀντιθέσεων πρὸς τὸ συναληθεύειν, ἢ συμψεύδεσθαι. αος: ταῖς ἀντιφατικαῖς ἀδύνατον ἅμα ἀληθεῖς, ἢ ἅμα ψευδεῖς εἶναι, ἀλλ' ἀεὶ διαιροῦν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. βος: ταῖς ἐναντίαις ἐν μὲν τῇ ἀναγκαίᾳ καὶ ἀδυνάτῳ ὕλῃ, μὴ ἐνδέχεσθαί ποτε συναληθεύειν, ἢ συμψεύδεσθαι· ἀλλ' ἀναγκαῖον εἶναι τὴν μὲν ἀληθῆ, τὴν δὲ ψευδῆ. ἐν δὲ τῇ ἐνδεχομένῃ συμψεύδεσθαι μὲν ἐνδέχεσθαι, συναληθεύειν δὲ οὔ. γος: ταῖς ὑπεναντίαις ἐν ἀναγκαίᾳ καὶ ἀδυνάτῳ ὕλῃ, μὴ ἐνδέχεσθαι ἅμα ἀληθεῖς εἶναι, ἐν ἐνδεχομένῃ δὲ, ἐνδέχεσθαι ἅμα ἀληθεῖς εἶναι, οὐδέποτε δὲ ψευδεῖς. δος: ταῖς ὑπαλλήλοις ἐν τῇ ὕλῃ ἀναγκαίᾳ καὶ ἀδυνάτῳ ἐνδέχεσθαι συναληθεύειν ἢ συμψεύδεσθαι· ἐν ἐνδεχομένῃ δὲ ὅταν μὲν ἡ καθόλου ἀληθὴς ᾖ, καὶ ἡ ἐπὶ μέρους ἀληθής ἐστιν· ὅτε δὲ ἡ ἐπὶ μέρους ψευδής, καὶ ἡ καθόλου ψευδής. ὅταν δὲ ἡ ἐπὶ μέρους ἀληθὴς ᾖ, οὐ πάντως καὶ ἡ καθόλου ἀληθὴς ἔσται. ἵνα δὲ αἱ ἀντιθέσεις τῶν προτάσεων, δεῖ τούτων ἀξίωμα σκοπεῖν. αον: ταῖς προτάσεσιν ἐννοεῖσθαι κατὰ τὸν αὐτὸν χρόνον, ἐπεὶ οὐκ ἀντίκεινται αὗται, ὁ Πλάτων γράφει, ὁ Πλάτων οὐκ ἔγραψε· διάφοροι γὰρ οἱ χρόνοι. βον: ἐν ταῖς ἐχούσαις ῥῆμα τὴν ἄρνησιν τῷ ὑπαρκτικῷ ῥήματι δεῖ ἐπιτίθεσθαι· ὅθεν οὐκ ἀντίκεινται αὗται, ὁ ἄνθρωπος ἐστὶν οὐ λογικός, ὁ ἄνθρωπος οὐκ ἔστι λογικός. γον: τῷ αὐτῷ ἐννοεῖσθαι τρόπῳ, ἐπεὶ οὐκ ἀντίκεινται, ὁ ἥλιος ἐστὶν ἐν τῷ μεσημβρινῷ ὑπὸ τὸ ὕψος τοῦ ἀέρος, οὐκ ἐν τῷ οὐρανῷ οὐκ ἔστιν ὑπὸ τὸ ὕψος τοῦ ἀέρος. δον: ἐν ἀμφοτέραις ταῖς προτάσεσι τὰ

τὰ αὐτὰ σημεῖα καὶ ὑπάρχοντα δέον εἶναι· ἀνθ' οὗ οὐκ ἀντίκειται, ὁ Πλάτων γράφει ὀρθῶς, ὁ Πλάτων οὐ γράφει. εον: τὸν ὅρον ἐν ἑκατέρᾳ τῇ προτάσει κατὰ τὸν αὐτὸν τρόπον ὑποτίθεσθαι, καὶ μὴ ὁμωνύμως. ὅθεν οὐκ ἀντίκεινται αὗται, ὁ ὑάκινθος ἐστὶ λίθος, ὁ ὑάκινθος οὐκ ἐστὶ λίθος· ἐκεῖ γὰρ ἀντὶ λίθου, ὧδε ἀντὶ ἄνθους λαμβάνεται. ϛον: τοὺς ὅρους φυλάττειν τὴν αὐτὴν τάξιν· ἐκ τάξεως γὰρ ἐνηλλαγμένης, οὐκ ἀντίκεινται αἱ προτάσεις, πᾶς ἄνθρωπος ἐστὶ ζῷον, τὸ ζῷον οὐκ ἐστὶν ἄνθρωπος.

κεφ. εον. Περὶ τῆς τῶν ἁπλῶν προτάσεων ἰσοδυναμίας.

Ἰσοδυναμία ἐστὶν, ἡ δύο ἀντικειμένων προτάσεων ἴση ἐν τῷ σημαίνειν δύναμις ἀπὸ τῆς προσθήκης τοῦ ἀποφατικοῦ μορίου τοῦ προηγουμένου, οἷον ἐπὶ παραδείγματος δύο προτάσεων ἀντιφατικῶν, πᾶς ἄνθρωπος ἐστὶ λογικός, εἰ οὖν προστεθῇ ἡ τοῦ ἄρνησις τινὶ τῶν ῥηθεισῶν προτάσεων, ἰσοδύναμον ταύτην ἐργάζεται τῇ ἑτέρᾳ, οἷον πᾶς ἄνθρωπος ἐστὶ λογικός, οὐχὶ τὸ πᾶς ἄνθρωπος ἐστὶ λογικός, ἢ τὸ πᾶς ἄνθρωπος ἐστὶ λογικός, τὸ πᾶς ἄνθρωπος καὶ τὰ ἑξῆς. τὸ γὰρ μόριον τὸ, ἀποφατικὸν ὄν, ἀναιρεῖ πᾶν, ᾧ ἂν προστεθῇ, ὅθεν τοὺς ὅρους, ὧν τῷ λόγῳ δύο προτάσεις ἀλλήλαις ἀντίκεινται προστεθῇ, ἀναιρεῖ τὴν αὐτῶν ἀντίθεσιν. ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων ἀντιφατικῶν, τὸ δέ τις ἄνθρωπος ἐστὶ δίκαιος, τὶς ἄνθρωπος ἐστὶ δίκαιος, ἐκ τοῦ ἐναντίου προφανές. αἱ γὰρ ἀντιφατικαὶ ἀντίκεινται, κατά τε ποσότητα, καὶ ποιότητα. ἐπεὶ οὖν ἡ ἄρνησις καθ' ἑκατέραν τῶν προτάσεων προστεθεῖσα μεταβάλλει τὴν αὐτῆς ποσότητα καὶ ποιότητα, ἀναμφισβήτητον ἰσοδύναμον ἑτέρᾳ ποιεῖ. ἐπὶ δὲ τῶν ἐναντίων καὶ ὑπεναντίων, ἐὰν προστεθῇ ἡ ἄρνησις τῷ προσκατηγορουμένῳ, ἰσοδύναμον ποιεῖ τῇ ἑαυτῆς ἐναντίᾳ, ἤγουν ὑπεναντίᾳ, ὁμοιωθεῖσαν, οἷον πᾶς ἄνθρωπος ἐστὶ δίκαιος, οὐδεὶς ἄνθρωπος ἐστὶ δίκαιος, αὗται ἐναντίαι· εἰ δὲ εἴπῃς, πᾶς ἄνθρωπος οὐκ ἐστὶ δίκαιος, ἢ οὐδεὶς ἄνθρωπος οὐκ ἐστὶ δίκαιος, ποιήσεις αὐτὰς ἰσοδυνάμους. αἴτιον δὲ τούτου, ἡ αἱ ἐναντίαι καὶ ὑπεναντίαι κατὰ ποιότητα μόνον ἀντίκεινται, εἰ δὲ προστεθῇ ἡ ἄρνησις τῷ προσκατηγορουμένῳ, ἡ καταφατικὴ πρότασις γίνεται ἀποφατική, καὶ ἡ ἀποφατικὴ καταφατική. δύο γὰρ ἀποφάσεις ποιοῦσι μίαν κατάφασιν, οὗ χάριν ἰσοδυναμοῦσι. ἐπὶ δὲ τῶν ὑπαλλήλων, εἰ ταῖς ἀμφοτέραις προστεθῇ ἡ ἄρνησις τούτῳ προσδιορισμῷ καὶ τῷ προσκατηγορουμένῳ, ἡ πρότασις ἰσοδύναμος ἔσται τῇ ἑαυτῆς ὑπαλλήλῳ, οἷον ἡ πρότασις αὕτη, τὶς ἄνθρωπος ἐστὶ δίκαιος, ἐστὶν ὑπάλληλος τῇ πᾶς ἄνθρωπος ἐστὶ δίκαιος, ἐὰν δὲ προστεθῇ ἡ ἄρνησις αὐτῇ, τούτου προσδιορισμοῦ καὶ τοῦ προσκατηγορουμένου, ὡς ἐπὶ ταύτης, οὐ τὶς ἄνθρωπος οὐκ ἐστὶ δίκαιος, ἡ πᾶς ἄνθρωπος οὐκ ἐστὶ δίκαιος, ἰσοδύναμοι ἔσονται, καθ' ὅ

δὲ, ὅτι αἱ ὑπάλληλοι ἀντίκεινται κατὰ ποσότητα. καὶ εἰ ἡ ἄρνησις τοῦ προσδιορισμοῦ προστεθῇ, ἀπεργάζεται τὴν πρότασιν μερικήν, εἰ καθόλου ἦν, εἰ δὲ μερική, καθόλου. ἀναιρετικὴ δὲ οὖσα ἡ ἄρνησις ὅταν πρὸ τοῦ ὑποκειμένου τεθῇ, μεταβάλλει καὶ τὴν ποιότητα τῆς προτάσεως, ἀπὸ καταφατικῆς ἀποφατικὴν ποιοῦσα αὐτήν, τοὐναντίον ἀφαιρεῖται διὰ τῆς ἀρνήσεως τοῦ προσκατηγορουμένου προστιθεμένης, ἐνίοτε γὰρ δύο ἀποφάσεις μίαν κατάφασιν ἀποτελοῦσιν, καταφατικὴ ἡ πρότασις μένει :~

Κεφάλαιον η΄. Περὶ ἀντιστροφῆς τῶν ἁπλῶν προτάσεων.

Ἔστι δὲ ἀντιστροφὴ κοινωνία δύο προτάσεων κατὰ τοὺς ὅρους ἀνάπαλιν τιθεμένους μετὰ τοῦ συναληθεύειν, οἷον τὶς ἄνθρωπος ἐστὶ ζῷον, τὶ ζῷον ἐστὶν ἄνθρωπος. τρία δὲ ἐν ἑκάστῃ ἀντιστροφῇ θεωρεῖσθαι δεῖ, ἀντιστρέφουσαν, ἀντιστρεφομένην, ἀντιστροφήν. ἀντιστροφὴ ἐστὶν ἡ ἀναφορά, ἤγουν συνάφεια, ἣν τὸ ἄρα μόριον σημαίνει, ὡς ὅταν λέγομεν, ὁ ἄνθρωπος ἐστὶ ζῷον, ἄρα τὶ ζῷον ἐστὶν ἄνθρωπος. ἀντιστρεφομένη λέγεται ἡ πρότασις ἡ ἀντιστρέφεται, ἀντιστρέφουσα δέ, εἰς ἣν γίνεται ἡ ἀντιστροφή. χρὴ δὲ ἀπὸ τῆς ἀντιστρεφομένης πρὸς τὴν ἀντιστρέφουσαν ἀναφορὰν ποιεῖσθαι, καὶ ἀνάπαλιν ἀπὸ τῆς ἀντιστρεφούσης πρὸς τὴν ἀντιστρεφομένην. διττὴ δὲ ἡ ἀντιστροφή, ἡ μὲν ἁπλῶς λέγεται, ὅταν δηλαδὴ μεταβάλλεται ἡ θέσις τῶν ὅρων, ὑπομενούσης τῆς αὐτῆς ποσότητος καὶ ποιότητος τῆς προτάσεως. κατὰ ταύτην τὴν ἀντιστροφήν, δύο προτάσεις ἀντιστρέφουσιν ἡ μερικὴ καταφατικὴ εἰς ἑαυτήν, καὶ ἡ καθόλου ἀποφατικὴ ὁμοίως εἰς ἑαυτήν, οἷον τὶς ἄνθρωπος ἐστὶ ζῷον, ἄρα τὶ ζῷον ἐστὶν ἄνθρωπος, οὐδεὶς ἄνθρωπος ἐστὶ λίθος, ἄρα οὐδεὶς λίθος ἐστὶν ἄνθρωπος. ἡ β΄ λέγεται κατὰ συμβεβηκὸς ἀντιστροφή, γίνεται δὲ ὅταν μεταβάλλεται ἡ θέσις τῶν ὅρων ὑπομενούσης μὲν τῆς ποιότητος, μεταβαλλομένης δὲ τῆς ποσότητος. κατὰ ταύτην δὲ τὴν ἀντιστροφήν, ἀντιστρέφονται ἡ καθόλου καταφατική, καὶ ἀποφατική, οἷον πᾶς ἄνθρωπος ἐστὶ ζῷον, ἄρα τὶ ζῷον ἐστὶν ἄνθρωπος. οὐδεὶς ἄνθρωπος ἐστὶ λίθος, ἄρα τὶς λίθος οὐκ ἔστιν ἄνθρωπος. ἡ δὲ τρίτη λέγεται διὰ ἀντιθέσεως, ἀντιστροφὴ γίνεται δὲ ὁπηνίκα μεταβάλλεται ἡ θέσις τῶν ὅρων, ὑπομενούσης τῆς αὐτῆς ποσότητος, καὶ ποιότητος, τῶν ὅρων μετὰ τοῦ [illegible] λαμβανομένων. οὕτως ἀντιστρέφονται α΄ μὲν ἡ καθόλου καταφατική, οἷον πᾶς ἄνθρωπος ἐστὶ ζῷον, καὶ πᾶν τὸ μὴ ζῷον ἐστὶ μὴ ἄνθρωπος, β΄ δὲ ἡ μερικὴ ἀποφατική, οἷον οὐ πᾶς ἄνθρωπος ἐστὶ λογικός, καὶ τὶ μὴ λογικὸν ἐστὶν οὐκ ἄνθρωπος :~

Κεφάλ.

ἢ ὅτι πᾶν οὐ λογικὸν ἐστιν οὐκ ἄνθρωπος.

Κεφάλαιον θ΄. Περὶ ἀντιθέσεως ἰσοδυναμίας καὶ ἀντιστροφῆς τῶν συνθέτων προτάσεων.

σύνθετος, ἤτοι ὑποθετικὴ πρότασίς ἐστιν, ἡ πλείους κατηγορικὰς συνδέσμῳ τινὶ περιέχουσα. διὰ τοῦτο διάφορα τῶν συνθέτων συνδέσμων ὄντων, διάφορα εἰσὶ καὶ τὰ τῶν συνθέτων προτάσεων εἴδη, ἡ μὲν γὰρ λέγεται συμπλεκτική, ἡ δὲ διαζευκτική, ἡ δὲ ὑποθετική, ἡ δὲ αἰτιολογική. συμπλεκτική, ἤτοι συμπεπλεγμένη πρότασίς ἐστιν, ἐν ᾗ διὰ τοῦ συμπλεκτικοῦ μορίου ἢ δύο, ἢ καὶ πλείους κατηγορικαὶ προτάσεις εἰσίν. οἷον ὁ σωκράτης λέγει καὶ ὁ πλάτων διαλέγεται. ἵνα δὲ ἡ τοιαύτη πρότασις ἀληθὴς ᾖ, ἀπαιτεῖται ἕκαστον αὐτῆς μέρος ἀληθὲς εἶναι, εἰ δὲ μόνον ἓν ψεῦδός ἐστι, ἅπασα ἡ συμπλεκτικὴ πρότασις λέγεται ψευδής. ἡ γὰρ τοιαύτη ἀπόφανσις τῷ χείρονι ἕπεται μέρει, ὅθεν χαίρειν διὰ τοῦ ψεύδους τοῦ ἑνὸς μέρους ἅπασα συμπλέκεται (?). διαζευκτική ἐστιν ἡ συνάπτουσα ἢ δύο ἢ καὶ πλείονας ἁπλῶν διὰ τοῦ ἢ μορίου ζευγνυμένων, οἷον ὁ [illegible] ἢ ἀναγινώσκει, ἢ περιπατεῖ, ἢ ἄρχει. ἵνα δὲ αὕτη ἀληθὴς ᾖ, ἀρκεῖ ἓν μέρος εἶναι ἀληθές. εἰ δὲ ψευδής, πάντα τὰ μέρη δεῖ ψευδῆ εἶναι. ὑποθετικὴ πρότασίς ἐστιν, ἧς τὰ μέρη τῷ ὑποθετικῷ μορίῳ συνάπτονται, οἷον εἰ ἐστὶν ἥλιος, ἐστὶν ἡμέρα. τῶν τοιούτων προτάσεων ἡ ἀλήθεια οὐ δεῖται τῆς ἀληθείας τοῦ ἡγουμένου, ἢ ἑπομένου, ἀλλὰ μόνον ἀναφορὰν προσήκουσαν ἀπαιτεῖ. ὅθεν αὕτη ἐστὶν ἀληθής, εἰ ὁ λίθος ἦν ἄνθρωπος, ἦν ἂν διανοητικός· καίτοι ἀμφότερα τὰ μέρη ὄντα ψευδῆ. αἰτιολογική ἐστιν, ἐν ᾗ αἱ προτάσεις διὰ τοῦ αἰτιολογικοῦ μορίου ὅτι, συνάπτονται, οἷον ὅτι ὁ ἄνθρωπος ἐστὶ λογικός, ἐστὶ γελαστικός. ἵνα δ' αὕτη ἀληθὴς ᾖ, τρία ἀπαιτοῦνται, ἀναγκαία ἀναφορά, ἀληθεῖς ἡγούμενον καὶ ἑπόμενον, καὶ τὸ ἡγούμενον αἴτιον εἶναι τοῦ ἑπομένου. [illegible] συνθέτους προτάσεις [illegible], αἱ μὲν ἀληθεύουσι μὴ ἀληθευόντων πάντων τῶν αὐτῶν μερῶν, ἤτοι τῶν ἁπλῶν προτάσεων, αἱ δὲ ἀληθεύουσιν, [illegible] προτάσεων [illegible] αἱ συμπλεκτικαὶ [illegible]. ὅθεν ταῖς καθόλου καταφατικαῖς προτάσεσιν ἐξομοιοῦνται, αἳ κατὰ πάντων τῶν [illegible] ἀληθεύουσι. διὸ καὶ τὴν συμπλεκτικὴν πρότασιν [illegible]. ταὐτόν γε ἐστὶν εἰπεῖν, πᾶς ἄνθρωπος ἐστὶ ζῷον, ἢ [illegible], εἰ ὁ ἄνθρωπος ἐστὶ ζῷον, καὶ εἰ ἐστὶ ζῷον, [illegible], καὶ καθόλου αἱ διαζευκτικαί, τοῦ β΄ δὲ καὶ ταῖς μερικαῖς ὁμοιοῦνται. ἡ γὰρ μερικὴ εἰς διαζευκτικὴν ἀναλύεται· εἰπεῖν γὰρ τὶς ἄνθρωπος ἐστὶ σιμός, ταὐτόν ἐστιν εἰπεῖν, [illegible], ἢ [illegible] ἐστὶ σιμός. καὶ εἰ ἡ

οὐ ἡ συνδεσμικὴ πρότασις ἐστὶν ὅσον καθόλου, ἡ δὲ διαζευκτικὴ ὅσον μερική, ἤγουν ταῦται ἀντικεῖσθαι κατὰ ποσότητα. διαφέρουσι δὲ αὐτῶν καὶ κατὰ ποιότητα ἀντικεῖσθαι, ἤγουν ταύτας ὥσπερ καὶ τὰς ἁπλᾶς τετραχῶς ἀντικεῖσθαι. παραδείγματος χάριν ἡ συνδεσμικὴ αὕτη, ὁ Πέτρος καὶ ὁ Παῦλος εἰσὶ σοφοί, ἔχει ἀντιφατικὴν τὴν ἀποφατικὴν ταύτην διαζευκτικήν, ἢ ὁ Πέτρος, ἢ ὁ Παῦλος οὐκ εἰσὶ σοφοί. ἐναντίαν δὲ τὴν ἀποφατικὴν ταύτην τὴν συνδεσμικήν, οὔτε ὁ Πέτρος, οὔτε ὁ Παῦλος εἰσὶ σοφοί. ὑπάλληλον δὲ ταύτην τὴν καταφατικήν, ἢ ὁ Πέτρος, ἢ ὁ Παῦλος εἰσὶ σοφοί. ἡ ὑπεναντία ἐστὶν ἡ διαζευκτικὴ ἀποφατική, ἢ ὁ Πέτρος, ἢ ὁ Παῦλος οὐκ εἰσὶ σοφοί, τῆς σαφηνείας δὲ τοῦτο καταγραπτὸν ἐκτίθεμεν ὑπογεγραμμένως :~



Εἰ βούλει δὲ ταύτας γνωστικῶς ποιῆσαι, ἐν μὲν ταῖς ἀντιφατικαῖς πάσης προτάσεως προσθεῖναι τὴν ἄρνησιν. ἐν δὲ ταῖς ἐναντίαις καὶ ὑπεναντίαις, πρὸ τοῦ συνδέσμου. ἐν δὲ ταῖς ὑπαλλήλοις, πρὸ καὶ μετὰ τὸ ὑποκείμενον. ἐνδέχεται δὲ ταύτας καὶ ἀντιστρέφειν. ἐπειδὴ γὰρ ἡ ἀποφατικὴ συνδεσμικὴ ἰσοδυναμεῖ τῇ καθόλου ἀποφατικῇ, ἐνδέχεται ἀντιστρέφειν ἁπλῶς. οἷον οὔτε ὁ Πέτρος, οὔτε ὁ Παῦλος εἰσὶ σοφοί, οὐδεὶς σοφὸς οὔτε ἐστὶν ὁ Πέτρος, οὔτε ὁ Παῦλος. ὁμοίως καὶ ἡ διαζευκτικὴ καταφατική, ἐπεὶ ἰσοδυναμεῖ τῇ μερικῇ καταφατικῇ. οἷον ἢ ὁ Πέτρος, ἢ ὁ Παῦλος εἰσὶ σοφοί, ἄρα σοφός ἐστιν ἢ ὁ Πέτρος, ἢ ὁ Παῦλος. ἡ δὲ συνδεσμικὴ καταφατική, καὶ ἀποφατικὴ ἐπειδὴ καθόλου ἰσοδυναμεῖ, κατὰ συμβεβηκὸς ἀντιστρέφονται. αἱ διαζευκτικαὶ ἐπεὶ ἰσοδυναμοῦσι τῇ μερικῇ, ἡ δὲ καταφατικὴ συνδεσμική, καὶ ἀποφατικὴ διαζευκτικὴ ἀντιστρέφονται τῇ σὺν ἀντιθέσει ἀντιστροφῇ :~

Κεφάλαιον γ^ον

Περὶ τῶν ἀνηκόντων εἰς τὴν γ^ην τοῦ νοὸς ἐνέργειαν.

Κεφ. α^ον: Περὶ ἐπιχειρήματος καὶ τῶν αὐτοῦ εἰδῶν.

Τὸ ἐπιχείρημα ὃ καὶ πιστικὸς λόγος λέγεται, ἐστὶ λόγος ἀποφαντικὸς ἀδήλου τινός, καὶ ἀμφισβητουμένου διὰ γνωρίμου τινὸς καὶ σαφοῦς πιστικός. τούτου δὲ τέτταρα εἰσὶ τὰ εἴδη, συλλογισμός, ἐπαγωγή, ἐνθύμημα, καὶ παράδειγμα. ὧν ὁ μὲν συλλογισμός, καὶ ἡ ἐπαγωγὴ τοῖς φιλοσόφοις, τὸ δὲ ἐνθύμημα, καὶ παράδειγμα τοῖς ῥήτορσιν ἁρμόζει. ὁρίζεται δὲ ἡ ἐπαγωγὴ τῷ φιλοσόφῳ ὅτι ἐστὶν ἀπὸ τῶν καθέκαστα ἐπὶ τὰ καθόλου ἔφοδος. οἷον τουτὶ τὸ πῦρ θερμαίνει, κἀκεῖνο θερμαίνει, πᾶν ἄρα πῦρ θερμαίνει. ἐνθύμημα δὲ ἐστὶν ἀτελὴς συλλογισμός, ἐν ᾧ ἐλλείπει ἡ ἑτέρα [illegible] πρότασις, οἷον ὁ Πέτρος ἐστὶ ζῷον, ἄρα ἐστὶν αἰσθητικόν, ὁ Πέτρος νύκτωρ πλανᾶται, κλέπτης ἄρα ἐστίν. παράδειγμα δὲ λόγος πιστικὸς μερικοῦ τινός, καὶ ἀμφισβητουμένου, διὰ γνωρίμου τινός, καὶ αὐτοῦ μερικοῦ. οἷον ὁ Σωκράτης ἀσθενὴς ὢν νικᾷ, καὶ σὺ ἄρα ὁμοίως ὢν, ὅμοιος [illegible] νικήσεις. Μόνος δὲ ὁ συλλογισμὸς ἰσχύει τὸ ἀναγκαῖον ἐν τοῖς ἐπιχειρήμασι, τὰ δὲ λοιπὰ πιθανὰ μέν, οὐκ ἔτι δὲ καὶ ἀναγκαίως δείκνυσι τὸ ἀμφισβητούμενον, διὸ καὶ ἐπ᾽ αὐτὸν ὡς ἀσφαλέστατον τρόπον τοῦ ἐπιχειρεῖσθαι, ἀνάγονται πάντα. ὁρίζεται δὲ ὁ συλλογισμὸς τῷ φιλοσόφῳ ὅτι ἐστὶ λόγος, ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει διὰ τὸ ταῦτα εἶναι :~

Τὸ μὲν λόγος ἐνταῦθα γένος ἐστί, τὰ δὲ λοιπὰ διαφοραὶ ἀναπληροῦσι τὸν ὅρον, καὶ λέγεται ὁ συλλογισμὸς λόγος, ἐπειδὴ ἐκ πολλῶν λέξεων συγκείμενος, αἳ δι᾽ ἀποφάσεων ἢ καταφάσεων ἀλλήλαις συναπτόμεναι ἕτερόν τι διαγγέλλουσιν, εἶναι ἢ μὴ εἶναι. λέγεται β^ον ἐν ᾧ τεθέντων τινῶν, ὁ ἀπὸ τῶν προτάσεων ἐννοεῖται, αἳ ὡς ὁμολογούμεναι προτίθενται :~ λέγεται γ^ον ἕτερόν τι τῶν κειμένων, διὰ τὸ συμπέρασμα. ἐπειδὴ πρότασις πάντως διάφορον, οὐ ταὐτὸν ὑπάρχει, ἤτοι ἐστὶ τὸ συμπέρασμα. τοῦτο δὲ λέγεται ἕτερον, τῶν προτάσεων δεῖγμα, ἤγουν δεικνύει, τοῦτο δὲ ἀπόδειγμα.

λέγεται δ^ον ἐξ ἀνάγκης συμβαίνει, ὅτι τῶν προτάσεων ἀληθῶν οὐσῶν, ἡ συναγωγὴ τοῦ συμπεράσματος ἀναγκαία ἐστί, λέγεται διὰ τὸ ταῦτα εἶναι, ἤτοι τὸ διὰ ταύτας τὰς προτάσεις ἐν σχήματι προκειμένας ἀληθῶν συμβαίνει τὸ συμπέρασμα. ἐκ παραδείγματος δὲ τοῦτο καταφανὴς ὁ συλλογισμὸς οὗτος :~ Πᾶν ἄυλον ἐστὶν ἀθάνατον, ἡ λογικὴ ψυχὴ ἐστὶν ἄυλος, ἄρα ἡ λογικὴ ψυχὴ ἐστὶν ἀθάνατος. ἐντεῦθεν δὲ ἐκ τῶν τιθεμένων τῶν ἀνωτέρω δύο προτάσεων, ἐξ ἀνάγκης συμβαίνει τὸ συμπέρασμα, τὴν λογικὴν ψυχὴν δηλαδὴ εἶναι ἀθάνατον :~

Κεφ. β΄. Περὶ ὕλης τοῦ συλλογισμοῦ.

Ὁ συλλογισμὸς συνθετός τις ὢν φαίνεται ἀνάγκην ἔχειν ὕλην, ἐξ ἧς ἔτι ὁ εἶδος, ἢ ἡ ἀναλ-
σεται δὲ ἡ τοῦ συλλογισμοῦ ὕλη, ἡ μὲν προσεχής, ἡ δὲ πόρρω (πορρωτέρα). ὕλη τοίνυν οἱ ὅροι, τό τε ὑπο-
κείμενον, καὶ τὸ κατηγορούμενον, καὶ ὁ καλούμενος μέσος ὅρος. ὕλη προσεχὴς εἰσὶν αἱ τρεῖς
προτάσεις, οἷον αἱ τοῦ προσεχοῦς ἐκτεθέντος συλλογισμοῦ. πόρρω ὕλη ἐστὶν ἡ λογικὴ
ψυχή, ἥτις ἐστὶν ὑποκείμενον, τὸ ἀθάνατον, ὅπερ ἐστὶ τὸ κατηγορούμενον, καὶ τὸ ἄϋλον,
ὅ ἐστι μέσος ὅρος. προσεχεῖς αἴτιον συλλογισμοῦ συνιστῶσι προτάσεις. ἰστέον δὲ ὅτι
τρεῖς μόνον ὅροι ἐν οἱῳδήποτε ὑγιῶς ἔχοντι συλλογισμῷ παραλαμβάνονται. δηλοῦται
δὲ τοῦτο σαφῶς. ὁ γὰρ συλλογισμὸς λόγος τίς ἐστι προσλαμβανόμενος εἰς δεῖξιν τινὸς ἀμ-
φισβητουμένου προβλήματος. ἔστι δὲ πρόβλημα ἀπόφανσίς τις, ἐν ᾗ ἀπορεῖται εἴ τινι
προσήκει, ἢ μὴ ἤτοι· παραδείγματος χάριν πρόβλημα, τὸ ἄνθρωπος ἐστὶ γελαστικός, ἐν
ᾧ ἀπορεῖται, εἰ τὸ γελαστικὸν ἐνυπάρχει τῷ ἀνθρώπῳ. τὸ τοίνυν πρόβλημα, δύο ὅρους ὁρί-
ζει ἐξ ἀνάγκης ἔχουσι συλλογισμοῦ. τὸ ὑποκείμενον δηλαδὴ καὶ τὸ κατηγορούμενον, ἃ
καὶ ἄκρα ἤκουσι. πρὸς λύσιν ζητεῖν τῆς ζητήσεως καὶ ἀπορίας, ἐν ἄλλοις οὐδὲ ἕτερα, εἰ μὴ
τρίτον τι ἔξωθεν προσλαμβάνειν, ὅπερ ὁ μέσος τῶν δύο ἄκρων, καὶ ἔχει συνάπτει-
ον ἢ διαζευγνύειν πρὸς ἀμφότερα. τὰ γὰρ ἄκρα συνάπτονται τούτῳ, εἰ μὴ διά τινος
μέσου, ἔτι δὲ τοῖς δυσὶν ἄκροις, τρίτος ἔξωθεν μέσος προστίθεται, οἷον ἐπὶ παρα-
δείγματος, ὡσὰν ὁρῶμεν τὸ ~~[illegible]~~ λογικὸν ἔχον συνάπτειν, πρός τε τὸν ἄνθρωπον, καὶ τὸ γελαστι-
κόν· κρίνομεν ἐκεῖνο εἶναι μέσον, καὶ οἱονεὶ σύνδεσμον ἀμφοτέρων. ὅθεν χάριν
δι' αὐτοῦ μόνον ἀμφοτέρων, τὸν ἄνθρωπον γελαστικὸν ὡς:—

πᾶν λογικὸν ἐστὶ γελαστικόν.
πᾶς ἄνθρωπος ἐστὶ λογικός.
ἄρα πᾶς ἄνθρωπος ἐστὶ γελαστικός.

Διαφέρει δὲ ἡ προσεχὴς ὕλη τοῦ συλλογισμοῦ τρεῖς μόνον οὖσαι προτάσεις, ἢ ὅτι ὁ μέσος ὅ-
ρος ἀμφοτέροις τοῖς ~~[illegible]~~ ἄκροις ὀφείλει συνάπτεσθαι. καθ' ὅ τε ἐνδέχεται ἕτερον συνάπτεσθαι
ἐν τῇ προτάσει, ἢ ἐστὶ πρόβλημα, ὅθεν χάριν ἀναγκαῖον εἶναι δύο προτάσεις παραλαμβάνεσθαι
διαφόρους τοῦ προβλήματος, ὧν ἑκατέρα ἐν ᾗ: ὁ μέσος ὅρος ἐν τοῦ προβλήματος ἄκρῳ συνά-
πτοιτο, ἐν δὲ τῇ β΄ τῷ ἑτέρῳ· ἔτι καὶ ὁ συλλογισμὸς ἐκ τριῶν μόνον συγκεῖται προτάσεων. τῶν
δὲ τριῶν ὅρων, ἐξ ὧν ὁ συλλογισμὸς συνίσταται, ὁ μὲν λέγεται μέσος, ὁ δὲ μείζων, ὁ δὲ ἐλάττων
ὅρος.

ὅρος. μέσος ὅρος ἐστὶν ὁ ἐν ἀμφοτέραις ταῖς προτάσεσι λαμβανόμενος, μὴ δὲ ἐν τῷ συμπερά-
σματι τιθέμενος. καλεῖται δὲ μέσος, ὅτι μέσην σχέσιν ἔχει πρὸς τὰ ἄκρα. μείζων ὅ ἐστιν
τῷ συμπεράσματι κατηγορούμενος. ταὐτὸ λέγεται καὶ ἐν τῷ προβλήματι. ἐλάττων ὁ ἐν τῷ συμπεράσμα-
τι ὑποκείμενος. Τῶν προτάσεων ἡ τὸν μέσον ὅρον ἔχουσα συντεταγμένον τῷ μείζονι ἄκρῳ, μεί-
ζων καλεῖται, ἡ δὲ ἐλάττονι, ἐλάττων. ἡ δὲ γ΄ συμπέρασμα λέγεται, καὶ ἐστὶν ἡ αὐτὴ τῷ προβλή-
ματι, συμπερασματικῶς λεγόμενον τοῦ μέσου, ἐξ ὧν συγκείμενον ταῦτα. α΄ τὸν συλλογισμὸν ἐκ τριῶν μό-
νον συγκεῖσθαι ὅρων, ὅθεν ὅπερ συνεπτυγμένος, ἢ συνεπτυγμένῳ ἔχει θέσεως, ἐκ τούτου συμ-
περαίνεται, οἷον:

ὁ λέγων τὸν ἄνθρωπον ζῶον, λέγει τἀληθῆ.
ὁ λέγων τὸν ἄνθρωπον ἵππον λέγει αὐτὸν ζῶον.
ἄρα ὁ λέγων τὸν ἄνθρωπον ἵππον λέγει τἀληθῆ.

Τὸ συμπέρασμα οὐχ ὑγιές, ὅτι γὰρ συλλογισμὸς συνεπτυγμένος τέσσαρας ἔχει ὅρους. τὸ γὰρ ζῶον
τὸ ἐν τῇ μείζονι, ἀντὶ τοῦ λογικοῦ ὑποτίθεται. ὅθεν διαφέρει τοῦ ἐν τῇ ἐλάττονι ζῴου, ὅπερ ἀντὶ τοῦ
ἀλόγου ὑποβάλλεται:— β΄. τὸν μέσον ὅρον μὴ εἶναι ὁμώνυμον, ἐπεὶ ἂν συνεπτυγ-
μένως τέσσαρες ὅροι, οἷον ἐπὶ παραδείγματος.

πᾶς κύων ὑλακτεῖ.
ἀλλ' ἄστρον τι ἐστὶ κύων.
ἄρα ὑλακτεῖ.

οὐχ ὑγιὲς συμπέρασμα, ὅτι ὁ κύων διαφόρως λαμβάνεται ἐν τῇ μείζονι καὶ τῇ ἐλάττονι. γ΄ον τὸν μέσον
ὅρον ἐν μιᾷ τοὐλάχιστον τῶν προτάσεων καθόλου χρὴ λαμβάνεσθαι, ἀντὶ παντὸς τῶν ὑφ' αὐτόν.
ἐπεὶ ὁ συλλογισμὸς εἴη ἂν καθόλου ὅρῳ [illegible], ὅθεν ὁ συλλογισμὸς οὐκ ὑγιής.

πᾶν ζῶον ἦν ἐν τῇ κιβωτῷ τοῦ Νῶε.
ὁ βουκέφαλος ἐστὶ ζῶον.
ὁ βουκέφαλος ἄρα ὑπῆρχεν ἐν τῇ κιβωτῷ τοῦ Νῶε.

Τὸ γὰρ ζῶον ἐνταῦθα, ἀντὶ τῶν τινῶν ὑποβάλλεται, οὐχὶ δὲ τῶν πάντων. δ΄ον ἐν ἑκάστῳ συλλογισμῷ
δεῖ ὑγιοῦς ὄντος ταῖς προτάσεσι καὶ τῷ συμπεράσματι τὴν αὐτὴν ἔκτασιν καὶ συστολὴν τῶν ὅρ-
ων ἔχειν· ἄλλως γὰρ οὐχ ὑγιὲς συμπεραίνεται, οἷον.

τινὰ ζῶα γεννῶνται,
πᾶς ἄνθρωπος ζῶον,
τινὲς ἄρα ἄνθρωποι γεννῶνται.

Ὁ γὰρ ὅρος ἄνθρωπος ἐν μὲν τῇ ἐλάττονι ἀντὶ τῶν ἑκάστου ὑποβάλλεται, ἐν δὲ τῷ συμπεράσ-

~~ἔνθα τὸ συμπε~~ρασμα, ὡς αὐτὴ ἡ τοῦ μείζονος ὅρου αὐτὸν ἐνδείκνυσι:~

κεφ: γ: περὶ συλλογιστικοῦ σχήματος.

Συλλογιστικὸν σχῆμα ἐστὶ κοινωνία δύο προτάσεων καθ' ἕνα ὅρον, ἐξ οὗ συνάγεται τρίτον τὸ συμπέρασμα, αἴτιον δὲ τοῦ τοιούτου σχήματος ὁ μέσος ὅρος ἐστὶ διάφορος τοῖς ὅροις κοινωνῶν. ὅταν μὲν γὰρ τῷ μὲν κατηγορουμένῳ ἐν τῇ προβλήματι ὑπόκειται, τῷ δὲ ὑποκειμένῳ κατηγορεῖται, τὸ πρῶτον γίνεται σχῆμα, οἷον·

πᾶν ζῷον ἐστὶν αἰσθητικόν.

πᾶς ἄνθρωπος ἐστὶ ζῷον.

ἄρα πᾶς ἄνθρωπος ἐστὶν αἰσθητικός.

ἔνθα τὸ ζῷον, μέσος ὅρος ὄν, ὑπόκειται ἐν τῇ μείζονι, καὶ κατηγορεῖται ἐν τῇ ἐλάττονι. ὅταν δὲ ἀμφοτέρων κατηγορεῖται τῶν ἄκρων, τὸ δεύτερον ἀποδεικτικὸν σχῆμα, οἷον·

οὐδεὶς λίθος ἐστὶ ζῷον.

πᾶς ἄνθρωπος ἐστὶ ζῷον.

οὐδεὶς ἄρα ἄνθρωπος ἐστὶ λίθος.

ἡνίκα δὲ ὁ μέσος ὅρος ἀμφοτέροις ὑπόκειται τοῖς ἄκροις, τὸ τρίτον γίνεται σχῆμα, οἷον· πᾶς σοφὸς ἐστὶ σπουδαῖος.

πᾶς σοφὸς ἐστὶν ἄνθρωπος.

ἄρα τὶς ἄνθρωπος ἐστὶ σπουδαῖος.

Παρὰ ταῦτα τὰ τρία σχήματα, ἕτερον γίνεσθαι ἀδύνατον. ἀδύνατον γὰρ κατ' ἄλλην τινὰ σχέσιν παρὰ τὰς εἰρημένας ἐνδεσμεῖν ὅροις τὸν μέσον ὅρον πρὸς τοὺς δύο συναχθῆναι τοῖς ἄκροις. ἔνιοι μέντοι καὶ τέταρτον ἐθέλουσι σχῆμα· ὃ προσαγορεύουσι τὸ Γαληνοῦ εἶναι λέγουσιν, ἐν ᾧ ὁ μέσος ὅρος ἐν μὲν τῇ μείζονι κατηγορεῖται, ἐν δὲ τῇ ἐλάττονι ὑπόκειται, οἷον·

πᾶς ἄνθρωπος ἐστὶ ζῷον.

πᾶν ζῷον ἐστὶν οὐσία.

τὶς ἄρα οὐσία ἐστὶν ἄνθρωπος.

Τοῦτο δὲ παραλείπουσιν οἱ φιλόσοφοι καὶ οἱ γνήσιοι αὐτοῦ θιασῶται ἐκβάλλουσι. διαφέρει γὰρ τοῦτο τοῦ πρώτου, οὐ τῇ διαφόρῳ τοῦ μέσου σχέσει πρὸς τοὺς ἄκρους, ἀλλὰ μόνῃ τῇ μεταλλάξει τῶν προτάσεων, καὶ τῇ ἀντεστραμμένῃ τοῦ συμπεράσματος συναγωγῇ, ὁ ἐλάττονα ἄκρον τοῦ μείζονος κατηγορῶν:~

κεφ: δ: περὶ τάξεως τοῦ σχήματος.

Ὁ τρόπος τῶν συλλογισμῶν διττός ἐστιν, ὁ μὲν κατάλληλος, ὁ δ' ἀκατάλληλος, κατάλληλος μὲν ἐστίν, ὅταν ἐν τῷ συμπεράσματι ὁ μείζων ἄκρος κατηγορεῖται, καὶ ὁ ἐλάττων ὑπόκειται, οἷον,

πᾶσα ἀρετὴ ἐπαινετή.

ἐλεημοσύνη ἐστὶν ἀρετή.

ἐλεημοσύνη ἄρα ἐπαινετή.

ὥσπερ τὸ, ἐπαινετή, ὅπερ ἐστὶ μείζων ἄκρος κατηγορεῖται τῆς ἐλεημοσύνης, ἥτις ἐστὶν ἐλάττων ἄκρος. ἀκατάλληλος δὲ τρόπος ἐστίν, ὅταν ἐν τῷ συμπεράσματι ὁ ἐλάττων ἄκρος κατηγορεῖται, καὶ ὁ μείζων ὑπόκειται, οἷον

πᾶς γεωμέτρης ἄνθρωπος.

τὶς ἄνθρωπος ἐστὶ γεωμέτρης.

ἄρα τὶς ἄνθρωπος ἐστὶν ἄνθρωπος.

Οἱ τρόποι ἤτοι αἱ συμβολικαὶ φωναί, ἐξ ὧν οἱ συλλογισμοὶ δηλοῦνται, εἰσὶ τοῦ πρώτου σχήματος.

οἱ κατάλληλοι τέσσαρες. Γράμματα, ἔγραψε, γραφίδι, τεχνικός.

ἀκατάλληλοι τοῦ αὐτοῦ ε.

γράμμασι, μέγραφων, ἀσπίδι, πάρεισο, λέμονος.

τοῦ δευτέρου σχήματος κατάλληλοι. δ.

ἔγραψε, κάτεχε, μέτριον, ἄχολον.

ἀκατάλληλοι δὲ οὐ, δὲ μηδέν.

τοῦ γ' κατάλληλοι ς.

ἅπασι, σθεναρός, ἰσάκις, ἀσπίδι, ὁμαλός, φέριστος.

ἀκατάλληλοι δὲ δύο.

ἰάσιν μο, δίκαιο.

Ἰστέον δὲ ὅτι ἐν τούτων τῶν φωνῶν τὰ τέσσαρα μόνον φωνήεντα θεωρεῖν ἀξιοῦνται, τὸ α, ε, ι, ο, καὶ ὅτι μὲν τὸ α τὴν καθόλου καταφατικὴν πρότασιν σημαίνει. τὸ δὲ ε τὴν καθόλου ἀποφατικήν, τὸ δὲ ι, τὴν μερικὴν καταφατικήν. τὸ δ' ο, τὴν μερικὴν ἀποφατικήν. Κἀντεῦθεν δῆλον γίνεται, ὅτι τὸ φωνῆεν τῆς πρώτης συλλαβῆς τὴν μείζονα σημαίνει πρότασιν, τὸ τῆς β: τὴν ἐλάττονα, τὸ τῆς γ: τὸ συμπέρασμα.

Ἐπὶ σαφηνείᾳ δὲ καθεξῆς ἐκτιθῶμεν παραδείγματα ἐφ' ἑκάστου σχήματος.

τοῦ πρώτου καταλλήλου.

γρά: πᾶς ἄνθρωπος ζῷον.

μμα: πᾶς γελαστικὸς ἐστὶν ἄνθρωπος.

τα: πᾶς ἄρα γελαστικὸς ἐστὶ ζῷον.

θὰ ἀ: οὐδεὶς ἄνθρωπος ἐστὶ γραμματικός.

α γρα: πᾶς ἵππος ἐστὶ τετράπους.

σα τι: ἄρα οὐδεὶς ἵππος ἐστὶ γραμματικός.

γρα· πᾶν πτερωτὸν ἵπταται,
φί: τὶς κόραξ ἐστὶ πτερωτόν,
δι: ἄρα τὶς κόραξ ἵπταται.
τε· οὐδὲν ὄρνεον ἐστὶ λογικόν,
χνι: τὶ δίπουν ἐστὶν ὄρνεον,
κός· ἄρα τὶ δίπουν οὐκ ἔστι λογικόν.
γρά γρά: ἀντικαθαλλήλως. πᾶς ὄρνις πτηνόν,
φαι μμα: πᾶς κόραξ ἐστὶν ὄρνις,
